Otro de los lugares más conocidos y ensalzados del poema. Aquiles, vuelto a la lucha para vengar la muerte de su amigo Patroclo, está a punto de coronar su serie de increíbles hazañas con el combate singular contra Héctor, único defensor de valía que queda en pie de entre los troyanos. El Priámida, personaje que realmente mueve a compasión y admiración en este canto, desfallece momentáneamente y huye, perseguido por Aquiles. Atenea consigue de Zeus que le permita colaborar con el Pelida. El destino de Héctor es pesado en la escena llamada psicostasia; y, en vista de que el hado tiene dispuesta su muerte, el dios que le defendía siempre, Apolo, le abandona. Atenea completa su obra infundiéndole falsas esperanzas y haciéndole creer, bajo la apariencia de su hermano Deífobo, que no está completamente olvidado por sus compatriotas y parientes; mientras que, por otra parte, devuelve a Aquiles la lanza perdida sin la cual la victoria podría haberse inclinado del lado de Héctor. Este, al reparar en el engaño de que ha sido objeto, se ve perdido e intenta conseguir de Aquiles al menos la promesa de que su cadáver no será afrentado, pero sin éxito. Muere, pues, el héroe en conmovedores versos y predice, en su último aliento, el fatal destino de Aquiles, que también perecerá a manos de París y de la enemistad de Apolo.

Ὣς ὄρμαινε [1] μένων, ὁ [2] δέ οἱ [3] σχεδὸν ἦλθεν Ἀχιλλεὺς
ἶσος Ἐνυαλίῳ, κορυθάικι πτολεμιστῇ,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν· ἀμφὶ [4] δὲ χαλκὸς [5] ἐλάμπετο εἴκελος αὐγῇ
ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος.
Ἕκτορα δ', ὡς ἐνόησεν [6], ἕλε τρόμος· οὐδ' ἄρ' ἔτ' ἔτλη
αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς·
Πηλεΐδης δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς.
Ἠύτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
ῥηϊδίως οἴμησε [7] μετὰ τρήρωνα πέλειαν,
ἡ [8] δέ θ' ὕπαιθα φοβεῖται, ὁ [8] δ' ἐγγύθεν ὀξὺ [4] λεληκὼς [9]
ταρφέ' [10] ἐπαΐσσει, ἐλέειν [11] τέ ἑ [12] θυμὸς ἀνώγει·
ὡς ἄρ' ὅ [8] γ' ἐμμεμαὼς ἰθὺς [4] πέτετο, τρέσε δ' Ἕκτωρ
τεῖχος ὕπο [13] Τρώων, λαιψηρὰ [14] δὲ γούνατ' ἐνώμα.
Οἱ [15] δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτὸν ἐσσεύοντο [16],
κρουνὼ δ' ἵκανον καλλιρρόω [17]· ἔνθα δὲ πηγαὶ
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος [18].
Ἡ μὲν [19] γὰρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ [4] δὲ καπνὸς
γίγνεται ἐξ αὐτῆς ὡς εἰ [20] πυρὸς αἰθομένοιο·
ἡ δ' ἑτέρη [21] θέρεϊ προρέει εἰκυῖα χαλάζῃ,
ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ [22].

---

[1] Héctor. — [2] Introduce a Ἀχιλλεύς. — [3] Dativo. — [4] Adverbial. — [5] La coraza. — [6] "(A Aquiles)". — [7] *Gnómico.* — [8] *Demostrativo.* — [9] Sin valor de estado: "dando agudos graznidos". — [10] "Una y otra vez". — [11] "(A la paloma)"; cf. infinitivo y ἑ dependen de ἀνώγει. — [12] Al halcón. — [13] "(Para situarse) al resguardo de"; anástrofe. — [14] Predicativo-proléptico. — [15] Nominativo del demostrativo. — [16] Héctor, que cuando empieza este trozo estaba apoyado en la misma muralla, se aleja de ella, deja atrás la atalaya y el cabrahigo y termina por tomar el camino de ronda, siempre seguido por Aquiles. — [17] Acusativo de dirección. — [18] El paisaje es fantástico: ni se habla de tal camino de ronda en ningún lugar de la *Ilíada,* ni puede tratarse aquí de las fuentes del río Escamandro, que nacería en el Ida. — [19] "La una". — [20] "(Se tratara)". — [21] "(Incluso)". — [22] "Al hielo (nacido) del agua", es decir, "al hielo" simplemente. —

Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς[23] ἔασι
καλοὶ λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
πλύνεσκον[24] Τρώων ἄλοχοι καλαί τε θύγατρες
τὸ πρὶν[25] ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
Τῇ[26] ῥα[27] παραδραμέτην[28], φεύγων, ὁ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ'[4] ἀμείνων
καρπαλίμως, ἐπεὶ οὔχ ἱερήιον οὐδὲ βοείην
ἀρνύσθην[29], ἅ τε ποσσὶν ἀέθλια[30] γίγνεται ἀνδρῶν[31],
ἀλλὰ περὶ ψυχῆς θέον[32] Ἕκτορος ἱπποδάμοιο.
Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
ῥίμφα μάλα τρωχῶσι· τὸ[33] δέ μέγα κεῖται ἄεθλον,
ἢ τρίπος ἠέ γυνή, ἀνδρὸς κατατεθνηῶτος[34]·
ὡς τὼ[35] τρὶς Πριάμοιο πόλιν πέρι[36] δινηθήτην
καρπαλίμοισι πόδεσσι· θεοὶ δ' ἐς πάντες ὁρῶντο·
τοῖσι δὲ μύθων[37] ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
«Ὤ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτορος[38], ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν[39]
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε[40]
ἐν πόλει ἀκροτάτῃ[41]· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
ἅστυ πέρι[36] Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
Ἀλλ' ἄγετε[42] φράζεσθε, θεοί, καὶ μητιάασθε
ἦέ[43] μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Πηλεΐδῃ Ἀχιλῆι δαμάσσομεν[44] ἐσθλὸν ἐόντα[45]».

---

[28] Más bien reiterativo. — [24] "Solían lavar". — [25] Con el artículo equivale a "antes". — [26] "Por allí". — [27] Vuelve a tomar el hilo de la narración. — [28] Dual; "(el uno)". — [29] Conativo. — [30] Predicado. — [31] Se refiere a los usuales concursos atléticos. — [32] Verbo. — [33] Anticipa a ἄεθλον: "y he aquí que". — [34] Genitivo absoluto causal: se trata de los juegos fúnebres en honor de un personaje importante. — [35] Dual. — [36] Anástrofe. — [37] Genitivo con verbos de "empezar". — [38] Causal. — [39] Tmesis; se trata de ofrendas. — [40] "Y otras veces". — [41] Predicativo: "en lo más alto de la ciudad", esto es, "en la acrópolis". — [42] "Ea, pues". — [43] "Si". — [44] "Dejamos caer ante". —[45] Concesivo: "por va-

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη [46]·
«Ὦ πάτερ ἀργικέραυνε, κελαινεφές, οἷον ἔειπες·
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον [47] αἴσῃ,
ἄψ [48] ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ' [49]· ἀτὰρ οὔ τοι [3] πάντες ἐπαινέομεν [50] θεοὶ ἄλλοι».
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
«Θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι [3] ἤπιος εἶναι·
ἔρξον [49] ὅπῃ δή τοι [3] νόος ἔπλετο [51], μηδ' ἔτ' ἐρώει».
Ὣς εἰπὼν ὄτρυνε πάρος [52] μεμαυῖαν Ἀθήνην·
βῆ [53] δὲ κατ' [54] Οὐλύμποιο καρήνων αἶξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο [55] δίηται,
ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα καὶ διὰ βήσσας·
τὸν [56] δ' εἴ πέρ τε λάθῃσι [57] καταπτήξας ὑπὸ θάμνῳ,
ἀλλά [58] τ' ἀνιχνεύων [59] θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλεΐωνα.
Ὁσσάκι δ' ὁρμήσειε [60] πυλάων Δαρδανιάων
ἀντίον [61] αἶξασθαι ἐυδμήτους ὑπὸ [62] πύργους,
εἴ πώς [63] οἱ [3] καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
πρὸς πεδίον [64]· αὐτὸς [65] δὲ ποτὶ πτόλιος [66] πέτετ' αἰεί.
Ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται [67] φεύγοντα διώκειν [68]·

---

liente que sea". — [46] Atenea se escandaliza. — [47] "Desde hace tiempo consagrado". — [48] La partícula indica acción de volver atrás el rumbo del destino. — [49] Imperativo concesivo. — [50] Lítotes. — [51] "Sea". — [52] "Que ya antes". — [53] "(Ella)". — [54] "En descenso desde". — [55] Más bien superfluo. — [56] Una especie de prolepsis; se esperaría "y aunque él (el cervato)". — [57] Subjuntivo sin κε. — [58] "Sin embargo". — [59] El perro. — [60] Optativo iterativo, del cual depende el infinitivo. — [61] Con idea de movimiento: "(a colocarse) delante". — [62] "Al amparo de". — [63] "Por si acaso". — [64] Cada vez que Héctor deja la ruta paralela a la muralla para acercarse a ésta, Aquiles se le adelanta y le obliga a separarse otra vez para que los troyanos no puedan intervenir. — [65] "(Aquiles), por su parte". — [66] Relativamente más cerca de la ciudad. — [67] "(Uno)". —

οὔτ' ἄρ' ὁ τὸν [69] δύναται ὑποφεύγειν οὔθ' ὁ [70] διώκειν·
ὡς ὁ τὸν [71] οὐ δύνατο μάρψαι ποσίν, οὐδ' ὃς [72] ἀλύξαι.
Πῶς [73] δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν [74] θανάτοιο,
εἰ μή οἱ [3] πύματόν τε καὶ ὕστατον [4] ἦντετ' Ἀπόλλων
ἐγγύθεν, ὅς οἱ [3] ἐπῶρσε μένος λαιψηρά [14] τε γοῦνα;
λαοῖσιν [75] δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,
οὐδ' ἔα ἰέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή [76] τις κῦδος ἄροιτο βαλών, ὁ [77] δὲ δεύτερος ἔλθοι.
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον [78] ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ [79] τότε δὴ χρύσεια πατὴρ [80] ἐτίταινε τάλαντα,
ἐν δὲ τίθει δύο κῆρε [35] τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
ἕλκε δὲ μέσσα λαβών [81]· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ [82],
ᾤχετο δ' εἰς Ἀΐδαο [83], λίπεν δέ ἑ [84] Φοῖβος Ἀπόλλων.
Πηλεΐωνα [17] δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
«Νῦν δὴ νῶι [85] ἔολπα, Διὶ φίλε φαίδιμ' Ἀχιλλεῦ,
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δηώσαντε μάχης ἄατόν περ ἐόντα [86].
Οὔ οἱ [3] νῦν ἔτι γ' ἔστι [87] πεφυγμένον [88] ἄμμε [89] γενέσθαι,
οὐδ' εἰ κεν [86] μάλα πολλὰ πάθοι [90] ἑκάεργος Ἀπόλλων
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
Ἀλλά σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι [91]
οἰχομένη πεπιθήσω [92] ἐναντίβιον μαχέσασθαι».

---

[68] "Alcanzar (a otro)". — [69] "El uno al otro". — [70] El perseguidor. — [71] Aquiles a Héctor. — [72] Héctor. — [73] Pregunta retórica a la que se espera respuesta negativa. — [74] Irreal del pasado. — [75] A las tropas griegas. — [76] "No fuera que". — [77] "El (Aquiles)". — [78] "Por cuarta vez", esto es, al finalizar la tercera vuelta. — [79] Apodótico intraducible. — [80] Zeus. — [81] "Y levantó (la balanza) cogiéndola por en medio". — [82] "El día fatal", "la muerte". — [83] "A (la morada) de Hades"; el platillo en que está la muerte de Héctor desaparece por su propio peso en los infiernos. — [84] A Héctor: ya de nada puede servirle la ayuda divina. — [85] Acusativo sujeto de oración de infinitivo. — [86] Concesivo. — [87] "Es posible". — [88] Predicado. — [89] Acusativo de la persona a quien uno se le escapa. — [90] "Se tome los mayores trabajos" (despectivo). — [91] Ético. — [92] Futuro redu-

"Ως φάτ' 'Αθηναίη, δ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ,
στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
Ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο [93] δ' Ἕκτορα δῖον
Δηιφόβῳ ἐικυῖα δέμας [94] καὶ ἀτειρέα φωνήν [94]·
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
«Ἥθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
ἄστυ πέρι [36] Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
ἀλλ' [95] ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μενοντες».
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
«Δηίφοβ', ἦ μέν μοι τὸ πάρος [96] πολὺ [97] φίλτατος ἦσθα
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας [88]·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃς [98] ἔτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
τείχεος ἐξελθεῖν, ἄλλοι [99] δ' ἔντοσθε μένουσι».
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
«Ἥθεῖ', ἦ μέν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
λίσσονθ' [100] ἑξείης γουνούμενοι, ἀμφὶ δ' [101] ἑταῖροι,
αὖθι μένειν [102]· τοῖον γὰρ [103] ὑποτρομέουσιν ἅπαντες·
ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεῖ λυγρῷ.
Νῦν δ' ἰθὺς μεμαῶτε [35] μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα εἰδομεν εἴ κεν Ἀχιλλεὺς
νῶι [104] κατακτείνας ἔναρα βροτόεντα φέρηται
νῆας ἔπι [36] γλαφυράς, ἦ κεν σῷ δουρὶ [105] δαμήῃ».
"Ως φαμένη καὶ [106] κερδοσύνῃ ἡγήσατ' Ἀθήνη·
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν [107] πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
«Οὔ σ' ἔτι, Πηλέος υἱέ, φοβήσομαι, ὡς τὸ πάρος [96] περ

---

plicado factitivo: "dejaré convencido". — [93] "Se acercó a". — [94] Acusativo de relación. — [95] "Ea". — [96] "Antes" (cf. nota 25). — [97] "Con mucho". — [98] "(A ti) que"; oración de relativo con valor causal. — [99] "(Mientras que) otros". — [100] Tercera persona de plural del imperfecto. — [101] "(De mí mismo)". — [102] Consecutivo-final. — [103] "Tanto es lo que". — [104] Acusativo. — [105] Agente. — [106] "También", esto es, "de acuerdo con sus palabras". — [107] A Aquiles. —

τρὶς περὶ ἄστυ μέγα Πριάμου δῖον [108], οὐδέ ποτ' ἔτλην
μεῖναι [109] ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
στῆμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην [110].
Ἀλλ' ἄγε [95] δεῦρο [111] θεοὺς ἐπιδώμεθα· τοὶ [8] γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον [4] ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε' [112], Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν [113]».
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε·
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
ὣς οὐκ ἔστ' [87] ἐμὲ καὶ σὲ φιλήμεναι [114], οὐδέ τι νῶιν [3]
ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν [115] γε πεσόντα
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν [116].
Παντοίης ἀρετῆς μιμνήσκεο [117]· νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι [3] ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῷ δαμάᾳ [118]· νῦν δ' ἀθρόα πάντ' ἀποτείσεις
κήδε' ἐμῶν ἑτάρων [119], οὓς ἔκτανες ἔγχεϊ θύων».
Ἦ ῥα [120], καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
ἔζετο [121] γὰρ προϊδών, τὸ [122] δ' ὑπέρπτατο χάλκεον ἔγχος [122],
ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ [123] δ' ἥρπασε [123] Παλλὰς Ἀθήνη,
ἄψ δ' Ἀχιλῆι δίδου, λάθε δ' [124] Ἕκτορα, ποιμένα λαῶν.

---

[108] "Corrí". — [109] "(Ante ti), que atacabas". — [110] "Puede ser que yo te venza o también que sea vencido por ti". — [111] "(Ven) aquí (y)". — [112] Doble acusativo. — [113] Infinitivo imperativo. — [114] Recíproco. — [115] "Uno u otro". — [116] Siguen varias frases en asíndeton explicable por la pasión con que habla Aquiles. — [117] "Acude a todos los recursos de tu valor guerrero". — [118] Futuro. — [119] Objetivo; se refiere especialmente a Patroclo. — [120] "Así dijo". — [121] "Se agachó". — [122] Sujeto. — [123] Tmesis. — [124] Hendíadis: "(se lo) dio y pasó inadvertida ante"

Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλεΐωνα·
«Ἥμβροτες, οὐδ' ἄρα [125] πώ τι [126], θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον· ἦ τοι ἔφης [127] γε·
ἀλλά τις [128] ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδείσας μένεος ἀλκῆς τε λάθωμαι.
Οὐ μέν μοι [129] φεύγοντι μεταφρένῳ [129] ἐν [123] δόρυ πήξεις [123],
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον [130],
εἴ τοι [3] ἔδωκε θεός· νῦν αὖτ' [131] ἐμὸν ἔγχος ἄλευαι
χάλκεον· ὡς δή [132] μιν σῷ ἐν χροΐ πᾶν κομίσαιο [133].
Καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο [134]· σὺ γάρ σφισι [135] πῆμα μέγιστον».
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πηλεΐδαο μέσον [136] σάκος οὐδ' ἀφάμαρτε·
τῆλε δ' ἀπεπλάγχθη [137] σάκεος δόρυ· χώσατο δ' Ἕκτωρ
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον [138] ἔκφυγε χειρός,
στῆ [139] δὲ κατηφήσας, οὐδ' ἄλλ' [140] ἔχε· μείλινον ἔγχος.
Δηίφοβον δὲ κάλει λευκάσπιδα μακρὸν [4] ἀΰσας·
ᾗτεέ μιν [112] δόρυ μακρόν [112]· ὁ [141] δ' οὔ τί [126] οἱ [3] ἐγγύθεν ἦεν·
Ἕκτωρ δ' ἔγνω [142] ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
«Ὤ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδε κάλεσσαν·
Δηίφοβον γὰρ ἔγωγ' ἐφάμην [143] ἥρωα παρεῖναι·
ἀλλ' ὁ μὲν [144] ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
Νῦν δὲ δὴ ἐγγύθι μοι [144] θάνατος κακός, οὐδ' ἔτ' ἄνευθεν,
οὐδ' ἀλέη [145]· ἦ γάρ ῥα πάλαι τό [146] γε φίλτερον [147] ἦεν
Ζηνί τε καὶ Διὸς υἱῖ ἑκηβόλῳ [148], οἵ με πάρος γε

---

en vez de "(se lo) dio pasando..." — [125] "Por lo visto". — [126] "En modo alguno". — [127] "(Y), sin embargo, te jactabas (de ello)". — [128] Refuerza a los adjetivos, como el latín *quidam*. — [129] Doble dativo de todo y parte. — [130] Imperativo concesivo. — [131] "Ahora, de momento". — [132] "Ojalá". — [133] Cupitivo. — [134] Genitivo absoluto temporal. — [135] "(Eres)". — [136] Predicativo: "en su parte media". — [137] "Salió rebotada". — [138] Predicativo. — [139] "Se quedó quieto". — [140] Acusativo neutro singular. — [141] Deífobo. — [142] "(El engaño)", deducido por las palabras de Aquiles en el verso 270. — [143] "Creía". — [144] "(Está)". — [145] "(Hay)". — [146] "Por lo visto, desde hace tiempo esto". — [147] "Más grato (que mi triunfo)". — [148] Acusación injusta y apasionada *contra* Apolo, que siempre

πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
Μὴ μὰν [149] ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην [133],
ἀλλά μέγα ῥέξας τι καὶ [150] ἐσσομένοισι πυθέσθαι [151]».
"Ὡς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξύ,
τό [152] οἱ ὑπὸ λαπάρην τέτατο [153] μέγα τε στιβαρόν τε,
οἴμησεν δὲ ἀλεὶς ὡς τ' αἰετὸς ὑψιπετήεις,
ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
ἁρπάξων [154] ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν'
ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
Ὠρμήθη δ' Ἀχιλεύς, μένεος δ' ἐμπλήσατο [155] θυμὸν
ἀγρίου, πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε [156]
καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇ
τετραφάλῳ· καλαὶ δὲ περισσείοντο ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἶει λόφον ἀμφὶ θαμειάς [157].
Οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ [158]
ἕσπερος, ὃς κάλλιστος [159] ἐν οὐρανῷ ἵσταται ἀστήρ [159],
ὡς αἰχμῆς ἀπέλαμπ' [160] εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
πάλλεν δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ,
εἰσορόων χρόα καλόν, ὅπῃ [161] εἴξειε [162] μάλιστα.
Τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχεα [163],
καλά, τὰ [164] Πατρόκλοιο βίην [165] ἐνάριξε κατακτάς [166]·
φαίνετο δ' ᾗ κληῖδες ἀπ' ὤμων αὐχέν' ἔχουσι [167],

---

le ha defendido. — [149] "Pues bien". — [150] "También". — [151] Literalmente "para los venideros, como para que lo contemplen" (consecutivo-final). — [152] Relativo. — [153] "Colgaba". — [154] Final. — [155] "Llenó". — [156] "Puso como protección". — [157] Quiere decir que, a cada movimiento del héroe, oscilaban las crines doradas que llevaba en los cuatro penachos de su casco; θαμειάς es predicativo. — [158] "En lo más profundo". — [159] Predicado. — [160] "Brotaba un resplandor". — [161] "Por dónde"; interrogativa indirecta, como si hubiera dicho "preguntándose, al mirar". — [162] "Sería más vulnerable". — [163] "Las armas... cubrían la piel de él en todo lo demás" o "en casi todo" (acusativo de relación). — [164] Relativo; acusativo doble. — [165] Acusativo doble; perífrasis típica de Homero: "el poderío de Patroclo" en vez de "el poderoso Patroclo". — [166] Héctor había despojado al cadáver de Patroclo de las armas de Aquiles, prestadas por éste, y se había revestido de ellas. — [167] "Pero se dejaba ver (la piel) por el lugar en que las

λαυκανίην [168], ἵνα [169] τε ψυχῆς ὤκιστος ὄλεθρος·
τῇ ῥ' ἐπὶ οἱ μεμαῶτ' [170] ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς,
ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἦλυθ' ἀκωκή·
οὐδ' ἄρ' ἀπ' [123] ἀσφάραγον μελίη τάμε [123] χαλκοβάρεια,
ὄφρα [171] τί μιν [172] προτιείποι ἀμειβόμενος ἐπέεσσιν.
"Ηριπε δ' ἐν κονίῃς· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
«Ἕκτορ, ἀτάρ [173] που ἔφης [174] Πατροκλῆ' ἐξεναρίζων
σῶς [175] ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα,
νήπιε· τοῖο δ' ἄνευθεν ἀοσσητήρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
ὅς τοι γούνατ' ἔλυσα· σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
ἑλκήσουσ' ἀικῶς, τὸν δὲ κτεριοῦσιν [176] Ἀχαιοί».
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
«Λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή με ἔα παρὰ νηυσὶ κύνας [122] καταδάψαι Ἀχαιῶν,
ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο [177],
δῶρα τά [152] τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ [178] οἶκαδ' ἐμὸν δόμεναι [113] πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι [179] θανόντα».
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
«Μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων [180]·
αἴ γάρ [132] πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷα [181] ἔοργας,

---

clavículas separan el cuello de los hombros". — [168] "La garganta"; las razones para el uso del acusativo son oscuras, puede que haya una aposición a αὐχένα. — [169] "Donde (es)". — [170] "Por allí, a (Héctor) que se lanzaba sobre él". — [171] "Para que"; la intención, naturalmente, no es de la lanza, sino del destino. — [172] Acusativo doble: "algo le". — [173] "En verdad". — [174] "Te jactabas". — [175] "Impune". — [176] Futuro ático. — [177] "Acepta". — [178] "(Para que se lo lleven)". — [179] "Hagan partícipe del fuego (en el funeral ritual)". — [180] "No me implores por (mis) rodillas ni por (mis) padres". — [181] Equivale a ὅτι τοιαῦτα. — [182] Cruce sintáctico entre "ojalá pudiera comer tu carne cruda, pero, ya que no puedo, te comerán los perros" y "ojalá yo tuviera valor para comer tu carne cruda como lo tengo para impedir que nadie aparte a los perros de ti". —

ὡς [182] οὐκ ἔσθ' [183] ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι [184],
οὐδ' εἴ κεν δεκάκις [185] τε καὶ εἰκοσινήριτ' ἄποινα
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα,
οὐδ' εἴ κέν σ' αὐτόν χρυσῷ ἐρύσασθαι ἀνώγοι [186]
Δαρδανίδης Πρίαμος· οὐδ' ὧς σέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ [123] πάντα [187] δάσονται [123]».
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ·
«Ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι [188], οὐδ' ἄρ' [125] ἔμελλον
πείσειν· ἦ γὰρ σοί [189] γε σιδήρεος ἐν φρεσὶ θυμός.
Φράζεο νῦν, μή [190] τοί τι θεῶν μήνιμα [191] γένωμαι
ἤματι τῷ ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
ἐσθλὸν ἐόντ' [86] ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν».
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε,
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἀιδόσδε βεβήκει,
ὃν [189] πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·
«Τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι».

---

[183] "Hay". — [184] Optativo con valor potencial: "pueda apartar". — [185] Sería de esperar un adjetivo: "diez veces superior (al que tú ofreces)". — [186] "Prometiera pagar el propio peso de tu cuerpo en oro". — [187] Masculino. — [188] "Te reconozco en tu aspecto". — [189] Posesivo. — [190] "No sea que". — [191] "Motivo de cólera" (predicado).

Partida de Odiseo

(Odisea V 192-332)

Los dioses han decidido que Calipso, la ninfa enamorada, deje libre a Odiseo para que éste pueda volver a su país y unirse a Penélope. El mandato divino es acatado por el héroe y por la propia ninfa, que le proporciona los materiales necesarios para construirse una almadía. Terminada ésta, Odiseo deja a Calipso y es víctima, a con-

tinuación, de una gran tempestad provocada por el rencor eterno de Posidón, a cuyo hijo, el Ciclope, burló y cegó el ingenioso Laercíada.

Ὣς ἄρα φωνήσασ' ἡγήσατο δῖα θεάων [1]
καρπαλίμως· ὁ [2] δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο [3].
Εἷλον δὲ σπείος γλαφυρὸν [4] θεὸς [3] ἠδὲ καὶ ἀνήρ,
καί ῥ' ὁ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη [5]
Ἑρμείας [6], νύμφη δ' ἐτίθει πάρα [7] πᾶσαν [8] ἐδωδήν,
ἔσθειν καὶ πίνειν [9], οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
τῇ δὲ παρ' [10] ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν [10].
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτάρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
τοῖς [11] ἄρα μύθων [12] ἦρχε Καλυψώ, δῖα θεάων·
«Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὕτω δὴ [13] οἰκόνδε φίλην [14] ἐς πατρίδα γαῖαν
αὐτίκα νῦν ἐθέλεις ἰέναι; σύ δὲ χαῖρε [15] καὶ ἔμπης.
Εἰ γε μὲν εἰδείης σῇσι φρεσὶν ὅσσα τοι αἶσα
κήδε' ἀναπλῆσαι [16], πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις [17]
ἀθάνατός τ' εἴης, ἱμειρόμενός περ [18] ἰδέσθαι
σὴν ἄλοχον, τῆς [19] αἰέν ἐέλδεαι ἤματα πάντα.
Οὐ μέν θην κείνης γε χερείων εὔχομαι [20] εἶναι,
οὐ δέμας [21] οὐδὲ φυήν [21], ἐπεὶ οὔ πως οὐδὲ ἔοικε
θνητὰς ἀθανάτῃσι δέμας [21] καὶ εἶδος [21] ἐρίζειν».

---

[1] Partitivo. — [2] Odiseo. — [3] Femenino. — [4] Acusativo de dirección. — [5] En español, pluscuamperfecto. — [6] Que había acudido a ordenar a Calipso, de parte de los dioses, que dejara libre a Odiseo. — [7] Adverbial. — [8] "Toda (clase de)". — [9] Consecutivo-finales. — [10] Tmesis. — [11] "Entre ellos", fórmula épica, aquí no muy adecuada, aplicada al orador que habla en un grupo. — [12] Genitivo con verbos de "empezar". — [13] "Entonces", según se deduce de lo dicho por Hermes. — [14] Posesivo. — [15] "Vete enhorabuena". — [16] Literalmente "(la medida de) cuántos dolores (es) destino para ti llenar". — [17] "Habitarías". — [18] Concesivo. — [19] Relativo. — [20] "Me jacto de no". — [21] Acusativo de relación. — [22] "Lleves

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
«Πότνα θεά, μή μοι τόδε χώεο [22]· οἶδα καὶ αὐτὸς
πάντα μάλ' [23], οὕνεκα σεῖο [24] περίφρων Πηνελόπεια
εἶδος [21] ἀκιδνοτέρη [25] μέγεθός [21] τ' εἰσάντα ἰδέσθαι [26]·
ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως.
Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
Εἰ δ' αὖ τις ῥαίῃσι θεῶν [1] ἐνὶ οἴνοπι πόντῳ,
τλήσομαι ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν·
ἤδη γὰρ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω [27]».
Ὣς ἔφατ', ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ [10] κνέφας ἦλθεν [10]·
ἐλθόντες δ' ἄρα τώ [28] γε μυχῷ σπείους γλαφυροῖο
τερπέσθην φιλότητι, παρ' ἀλλήλοισι μένοντες.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
αὐτίχ' ὁ μὲν [29] χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς,
αὐτὴ [30] δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ [31]
καλὴν χρυσείην, κεφαλῇ δ' ἐφύπερθε καλύπτρην·
καὶ τότ' [32] Ὀδυσσῆι μεγαλήτορι μήδετο πομπήν.
Δῶκέν οἱ [33] πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσι [34],
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον [35]· αὐτὰρ ἐν αὐτῷ [36]
στειλειὸν περικαλλὲς ἐλάινον, εὖ ἐναρηρός·
δῶκε δ' ἔπειτα σκέπαρνον ἑΰξοον· ἆρχε δ' ὁδοῖο [37]
νήσου ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
κλήθρη τ' αἴγειρός τ', ἐλάτη τ' ἠν οὐρανομήκης,
αὖα πάλαι, περίκηλα, τά [38] οἱ [39] πλώοιεν ἐλαφρῶς.

---

a mal". — [23] "Muy bien". — [24] Genitivo de comparación. — [25] "(Es)". — [26] Consecutivo-final. — [27] "Que también eso se añada a lo anterior" (imperativo concesivo). — [28] Nótese la concordancia de plural con dual. — [29] Anticipa a Ὀδυσσεύς. — [30] No las servidoras. — [31] "Y (le) puso un cinturón en torno al talle" (tmesis). — [32] "Después". — [33] Dativo. — [34] "Adaptada a sus manos". — [35] Provista de dos filos. — [36] "(Había)". — [37] "(Le) guió por el camino". — [38] Oración de relativo con valor final. — [39] Ético. — [40] "Una vez que le hubo mostrado".

Αὐτὰρ ἐπεὶ δὴ δεῖξ'[40] ὄθι δένδρεα μακρὰ πεφύκει,
ἦ μὲν ἔβη πρὸς δῶμα Καλυψώ, δῖα θεάων,
αὐτὰρ ὁ τάμνετο[35] δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον.
Εἴκοσι δ' ἔκβαλε πάντα[41], πελέκκησεν[42] δ' ἄρα χαλκῷ[43],
ξέσσε δ' ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν[44].
Τόφρα δ' ἔνεικε[45] τέρετρα Καλυψώ, δῖα θεάων·
τέτρηνεν δ' ἄρα πάντα[46] καὶ ἥρμοσεν ἀλλήλοισι[47],
γόμφοισιν δ' ἄρα τήν[48] γε καὶ ἁρμονίῃσιν ἄρασσεν[49].
"Οσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται[50] ἀνὴρ
φορτίδος εὐρείης, εὖ εἰδὼς τεκτοσυνάων,
τόσσον ἔπ' εὐρείαν[51] σχεδίην ποιήσατ' Ὀδυσσεύς.
Ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσι,
ποίει[52]· ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι[53] τελεύτα.
Ἐν δ' ἱστὸν ποίει[54] καὶ ἐπίκριον ἄρμενον αὐτῷ·
πρὸς[55] δ' ἄρα πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνοι.
Φράξε δέ μιν ῥίπεσσι διαμπερὲς[56] οἰσυΐνῃσι
κύματος εἶλαρ ἔμεν[57]· πολλὴν δ' ἐπεχεύατο ὕλην[58].
Τόφρα δὲ φάρε' ἔνεικε[45] Καλυψώ, δῖα θεάων,
ἱστία ποιήσασθαι[59]· ὁ δ' εὖ τεχνήσατο καὶ τά.
Ἐν[60] δ' ὑπέρας τε κάλους τε πόδας τ' ἐνέδησεν ἐν αὐτῇ,
μοχλοῖσιν δ' ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν.
Τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·
τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου δῖα Καλυψώ,
εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα[61].

---

[41] "En total". — [42] "Hachó". — [43] Del hacha. — [44] "Regló". — [45] "Entre tanto (le) había traído". — [46] "(Los maderos)", en los que así quedó hecho el agujero para las clavijas. — [47] "Dispuso de forma paralela entre sí". — [48] La balsa. — [49] "Ajustó a golpes". — [50] Subjuntivo iterativo sin κε: "cuanto espacio de una nave... delimita en forma curva". — [51] "Hasta tal punto (anástrofe) hizo ancha (predicativo) su balsa..." (quiere decir que le dio las grandes dimensiones de un espacioso barco mercante). — [52] "(La) hizo (como tal toldilla, elevada para que las olas pasaran por debajo, entre los pilares)". — [53] Horizontales. — [54] "Y puso en (ella)". — [55] "Además". — [56] "En derredor". — [57] "Para que fuesen (consecutivo-final) defensa contra el oleaje". — [58] "Lastró con madera abundante". — [59] Consecutivo-final. — [60] Adverbio que anticipa a ἐν αὐτῇ. — [61] *Hysteron-*

Ἐν [62] δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
τὸν ἕτερον, ἕτερον δ' ὕδατος μέγαν [63], ἐν [62] δὲ καὶ ἦα [64]
κωρύκῳ· ἐν [62] δέ οἱ ὄψα τίθει μενοεικέα πολλά·
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
Γηθόσυνος δ' οὔρῳ πέτασ' ἱστία δῖος Ὀδυσσεύς.
Αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
ἥμενος· οὐδέ οἱ [65] ὕπνος ἐπὶ βλεφάροισιν [65] ἔπιπτε [66]
Πληιάδας τ' ἐσορῶντι καὶ ὀψὲ δύοντα Βοώτην [67]
Ἄρκτον θ', ἣν καὶ ἅμαξαν ἐπίκλησιν [68] καλέουσιν,
ἥ τ' αὐτοῦ [69] στρέφεται καί τ' Ὠρίωνα δοκεύει [70],
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο [71]·
τὴν γάρ δή μιν [72] ἄνωγε Καλυψώ, δῖα θεάων,
ποντοπορευέμεναι ἐπ' ἀριστερὰ χειρὸς [73] ἔχοντα.
Ἑπτὰ δὲ καὶ δέκα μὲν πλέεν ἤματα [74] ποντοπορεύων,
ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλεν [75] αὐτῷ·
εἴσατο [76] δ' ὡς ὅτε [77] ῥινὸν ἐν ἠεροειδέι πόντῳ.
Τὸν δ' ἐξ [78] Αἰθιόπων ἀνιῶν κρείων ἐνοσίχθων [79]

---

proteron: "después de haberle lavado y vestido... (en señal de despedida amistosa)". — [62] En la balsa. — [63] "Le puso... dos odres, el uno..., y el otro, grande...". — [64] Sustantivo. — [65] Doble dativo de todo y parte. — [66] Es decir, que sólo dormía de día, con el timón inmovilizado, para no perder el rumbo. — [67] El viaje se verifica en la época en que al atardecer puede observarse la puesta de la constelación del Boyero, es decir, en octubre. — [68] "Como sobrenombre". — [69] "En el mismo sitio", esto es, alrededor de la estrella polar. — [70] La Osa "acecha" al cazador Orión, constelación de figura humana. — [71] "Y es la única que no se baña en las aguas del Océano". Hoy día, solamente en determinadas latitudes, como la de Madrid, puede decirse que la Osa Mayor no queda nunca bajo el horizonte; en el S. de España, la estrella η de la constelación es invisible a eso de las once solares del 5 de noviembre; pero, en la época de Homero, el polo estaba cerca de la α del Dragón, y la constelación (que, por otra parte, no es la única circumpolar como dice el poeta) se hallaba más alta. — [72] A Odiseo. — [73] "A su mano izquierda"; la navegación, pues, se dirige de NO. a SE. — [74] Acusativo espacial. — [75] "Por la parte que estaba más cercana". — [76] "Se hacían visibles" las formas abombadas de los montes, *semejantes* a la convexidad de un escudo. — [77] "Como cuando", "como", igual que lat. *quasi*. — [78] "(La tierra de)". — [79] Posidón. — [80] "Se hacía

τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο [80] γάρ οἱ
πόντον ἐπιπλώων· ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον [81],
κινήσας δὲ κάρη [82] προτὶ ὃν μυθήσατο θυμόν·
«Ὤ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ' Ὀδυσῆι ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος [83],
καὶ δὴ Φαιήκων γαίης σχεδόν [84], ἔνθα οἱ αἶσα
ἐκφυγέειν [85] μέγα πεῖραρ ὀιζύος, ἥ μιν ἱκάνει·
ἀλλ' ἔτι μέν μίν φημι ἄδην ἐλάαν κακότητος [86]».
Ὡς εἰπὼν σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον
χερσὶ τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας
παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν [10] δ' Εὖρός τε Νότος τ' ἔπεσον [10] Ζέφυρός τε δυσαὴς
καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον [14] ἦτορ,
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν [14] μεγαλήτορα θυμόν·
«Ὤ μοι ἐγὼ δειλός, τί νύ μοι μήκιστα γένηται [87];
δείδω μὴ δὴ πάντα θεὰ νημερτέα [88] εἶπεν,
ἥ μ' ἔφατ' ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἄλγε' ἀναπλήσειν· τὰ δὲ δὴ νῦν πάντα τελεῖται,
οἷοισιν [89] νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεύς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ' ἄελλαι
παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Τρισμάκαρες Δαναοὶ καὶ τετράκις οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρεΐδῃσι φέροντες.
Ὡς δὴ ἐγώ γ' ὄφελον θανέειν [90] καὶ πότμον ἐπισπεῖν
ἤματι τῷ ὅτε μοι πλεῖστοι [91] χαλκήρεα δοῦρα

---

visible (Odiseo)". — [81] "Más aún" (pues siempre se muestra hostil a Odiseo). — [82] El dios menea la cabeza con gesto de cólera. — [83] Genitivo absoluto temporal. — [84] "(Está)". — [85] Literalmente "donde para él (es) destino escapar a". — [86] Literalmente "pienso llevarle a la desgracia hasta la saciedad". — [87] "Qué va a sucederme a la postre" (subjuntivo prospectivo, cercano al futuro). — [88] Predicado. — [89] Equivale a ὅτι τοιούτοις. — [90] Expresión de deseo irrealizable: "debí haber muerto". — [91] "Más (que nunca)". — [92] "Con ello habría yo recibido" (con geni-

Τρῶες ἐπέρριψαν περὶ Πηλείωνι θανόντι.
Τῷ κ' ἔλαχον[92] κτερέων, καί μευ κλέος ἦγον[93] Ἀχαιοί·
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο[94] ἁλῶναι».

"Ὡς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης[95],
δεινὸν ἐπεσσύμενον[7], περὶ[10] δὲ σχεδίην ἐλέλιξε[10].
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξε[96]
δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα,
τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.
Τὸν δ' ἄρ' ὑπόβρυχα[88] θῆκε πολὺν χρόνον, οὐδ' ἐδυνάσθη
αἶψα μάλ' ἀνσχεθέειν[97] μεγάλου ὑπὸ[98] κύματος ὁρμῆς·
εἵματα γάρ[99] ῥ' ἐβάρυνε, τά οἱ πάρε[5] δῖα Καλυψώ.
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην
πικρήν, ἥ οἱ πολλὴ[100] ἀπὸ κρατὸς κελάρυζεν.
Ἀλλ' οὐδ' ὣς σχεδίης ἐπελήθετο, τειρόμενός περ[101],
ἀλλά μεθορμηθεὶς ἐνὶ κύμασιν ἑλλάβετ' αὐτῆς,
ἐν μέσσῃ δὲ καθῖζε τέλος θανάτου ἀλεείνων.
Τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον[102] ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν[103] ἀκάνθας
ἁμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται,
ὣς τὴν[104] ἀμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα·
ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι[105],
ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἶξασκε διώκειν[106].

---

tivo, como los verbos de "obtener"). — [93] "Habrían divulgado". — [94] "Era fatal (desde mi nacimiento) que yo". — [95] "Desde arriba". — [96] "Y le rompió el mástil por su parte media". — [97] "Reaparecer". — [98] "De debajo de". — [99] "(Le)". — [100] "En gran cantidad". — [101] "Aunque...". — [102] "A merced de la corriente", como si se tratara de un río. — [103] Subjuntivo iterativo sin κε. — [104] La balsa. — [105] "Se la entregaba para que la arrastrase" (infinitivo consecutivo-final). — [106] "Se la cedía para que la empujara".

SOLON

Solón es la primera personalidad ateniense que podemos conocer de una manera fidedigna; y es ya un representante de lo que luego ha de ser el espíritu de Atenas. Procedente de una familia aristocrática, fue elegido arconte el año 593 a. J. C. con poderes especiales para reformar la constitución. En el grave conflicto que enfrentaba a la vieja aristocracia terrateniente con las nuevas clases mercantiles y la población campesina, Solón eligió una vía intermedia que, sin eliminar la aristocracia, dio entrada a las nuevas clases en el poder político. Así, Solón fue el verdadero fundador de la democracia ateniense, aunque sus reformas no pudieron evitar la continuación de la discordia y el advenimiento de la tiranía de Pisístrato. Toda su posición está fundada en su pensamiento religioso, que ve en la injusticia la causa de las discordias civiles, castigo divino de la misma.

Elegía a las Musas

(Fr. 1 Adrados)

La elegía a las Musas es esencial para comprender el pensamiento de Solón, cuyos precedentes están en Homero *(Odisea)* y Hesíodo. Pero aquí hay una forma de razonar de tipo más moderno, lógica además de mítica y religiosa, y una situación nueva: la injusticia que castiga Zeus es ante todo el ansia de riquezas. Hay, por decirlo así, una lógica interna de las cosas, por la cual el κόρος "hartazgo" provoca infaliblemente la ὕβρις "desmesura"; y ésta, la ἄτη "castigo". La elegía presenta digresiones e inconsecuencias propias de la poesía arcaica, lo que no debe inducir ni a dividirla en dos ni a ver en ella más de un tema fundamental.

El trozo está escrito en dísticos elegíacos, compuestos de un hexámetro, cuya descripción puede verse en pág. 14, y un pentámetro. Este último está compuesto por dos hemistiquios, entre los cuales hay una pausa, llamada diéresis, que coincide generalmente con un fin de palabra. Cada uno de los hemistiquios se compone teóricamente de dos dáctilos más una sílaba larga; pero, en el primero de ellos, uno o los dos dáctilos pueden ser sustituidos por espondeos.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ[1] μοι εὐχομένῳ·
ὄλβον μοι πρὸς[2] θεῶν μακάρων δότε[3] καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοισ', ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν[4].

[1] Imperativo de aoristo atemático de κλύω. — [2] "De parte de". — [3] Construído con inconcinidad: primero con un complemento directo, luego con una serie de infinitivos. — [4] Dependiente de δεινόν. — [5] La prosa ática diría ἂν δῶσι (relativa

Χρήματα δ' ἰμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
Πλοῦτον δ' ὃν μὲν δῶσι[5] θεοί, παραγίγνεται ἀνδρί
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν[6]·
ὃν δ' ἄνδρες τιμῶσιν ὑφ' ὕβριος[7], οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ', ἀδίκοισ' ἔργμασι πειθόμενος[8],
οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτῃ·
ἀρχὴ[9] δ' ἐξ ὀλίγου γίγνεται ὥς τε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ·
οὐ γὰρ δὴν[10] θνητοῖσ' ὕβριος ἔργα πέλει,
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δέ—
ὥστ'[11] ἄνεμος νεφέλας αἶψα διεσκέδασεν[12]
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας[13], γῆν κατὰ πυροφόρον
δηιώσας καλὰ ἔργα[14], θεῶν ἕδος αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν[15] ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔστιν[16] ἰδεῖν—
τοιαύτη Ζηνός πέλεται τίσις, οὐ δ' ἐφ' ἑκάστῳ[17],
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος,
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις[18] ἀλιτρὸν
θυμὸν ἔχῃ, πάντως δ' ἐς τέλος ἐξεφάνη[19]·
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτεισεν[20], ὁ δ' ὕστερον· οἳ δὲ φύγωσιν[21]
αὐτοί, μὴ δὲ θεῶν *μοῖρ'*[22] *ἐπιοῦσα κίχῃ*,

---

condicional *iterativa*); *análogamente en el v. 9 y más veces.* — [6] Solón se representa la riqueza como un montón de grano. — [7] "Como consecuencia de la injusticia". — [8] La riqueza, como luego el infortunio (v. 13), aparece personificada. [9] Súplase (ἄτης). — [10] "Durante *largo tiempo*"; *las obras de la injusticia no* son duraderas. — [11] "Como"; aquí se interrumpe la construcción y empieza una *comparación* cuyo primer término es τοιαύτη κτλ. en v. 25 ss. — [12] Aoristo gnómico. — [13] La concepción antigua hacía nacer la tempestad del fondo del mar. — [14] "Cultivos". — [15] "Hizo" (cf. 46, 55, etc.). — [16] "Es posible". — [17] "Ante cada delito". — [18] Falta el antecedente, por lo que ὅστις *funciona* aparentemente como interrogativo. — [19] Aoristo gnómico: "es descubierto". — [20] Aoristo gnómico. — [21] Cf. n. 5. — [22] "El castigo" (θεῶν es genitivo subjetivo). — [23] Igual

ἦλυθε [23] πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
Θνητοὶ δ' ὧδε νοεῦμεν [24] ὁμῶς ἀγαθός τε κακός τε·
κεινὴν δῆν αὐτὸς δόξαν [25] ἕκαστος [26] ἔχει
πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαισ' ἐλπίσι τερπόμεθα
χὥστις [27] μὲν νούσοισιν ὑπ' ἀργαλέῃσιν πιεσθῇ
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
ἄλλος δειλὸς ἐὼν ἀγαθός [28] δοκεῖ ἔμμεναι [29] ἀνήρ
καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων·
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα [30] βιᾶται,
κτήσεσθαι πάντως χρήματα πολλὰ δοκεῖ.
Σπεύδει δ' ἄλλοθεν [31] ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρῄζων οἴκαδε κέρδος ἄγειν
ἰχθυόεντ' [32], ἀνέμοισι [33] φορεύμενος ἀργαλέοισιν,
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτόν [34]
λατρεύει [35], τοῖσιν [36] καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα [37] δαεὶς χειροῖν συλλέγεται βίοτον,
ἄλλος [38] Ὀλυμπιάδων Μουσέων πάρα [39] δῶρα διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ [40] συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·

---

a ἦλθε; aoristo gnómico (hay otros más en los versos siguientes). — [24] Con contracción jónica (cf. v. 45, φορεύμενος). — [25] "Vana ilusión". — [26] "Uno mismo", "cada uno". — [27] Igual a καὶ ὅστις. — [28] "Valiente". — [29] Como εἶναι (eolismo). — [30] Epicismo: πενίης ... ἔργα equivale a πενίη. — [31] "De un modo distinto". — [32] Referido a πόντον. — [33] Dativo agente. — [34] "Durante un año". — [35] "Trabaja a jornal". — [36] Relativo (falta un antecedente como τούτων). — [37] Es decir, las labores artesanas. — [38] Súplase (συλλέγεται βίοτον). — [39] Anástrofe. — [40] Su antecedente es ἄλλον. — [41] "En poder de éstos

ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί, καὶ τοῖσ' οὐδὲν ἔπεστι[41] τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ[42] ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς·
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἀψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν,
δῶρα[43] δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων,
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐ δέ τις οἶδεν,
ᾗ[44] μέλλει σχήσειν χρῆματος ἀρχομένου[45]·
ἀλλ' ὁ[46] μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα[47] δίδωσιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον[48] ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον[49],
διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
Κέρδεά τοι θνητοῖσ' ὤπασαν ἀθάνατοι,
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεύς
πέμψῃ τεισομένην, ἄλλοτε ἄλλος ἔχει.

---

está". — [42] Crasis por καὶ οὐκ. — [43] Es decir, los dones buenos y *malos*. — [44] Adverbial ("cómo"), lo que influye en la traducción de σχήσειν. — [45] Genitivo absoluto. — [46] Uso pronominal (en correlación con τῷ δέ). — [47] "En todo". — [48] "Fijado". — [49] "Riqueza".

SOFOCLES

Sófocles (que vivió del 496, aproximadamente, al 406 a. J. C.) perteneció a una rica familia de Atenas y desempeñó un papel importante en la política ateniense; fue tesorero de la Liga Marítima, general dos veces y actuó como uno de los diez consejeros (πρόβουλοι) que se instauraron a raíz de la derrota ateniense en Sicilia del año 413. Nos queda constancia de su alta situación social, del aprecio popular de que disfrutó, testimoniado por los triunfos de sus obras, y de su carácter amable y piadoso.

Sófocles representa el momento más característico de la tragedia ática, precisamente por ser un pensador menos original que Esquilo y Eurípides. En él contemplamos una y otra vez la figura del héroe sufriente en las más diversas circunstancias; el cuadro de la limitación y error humanos; y el triunfo de la voluntad divina, lo que nunca se produce privando al hombre de su libertad, ni tampoco dándole un triunfo fácil y sin dolor cuando defiende las leyes divinas. Después de la catástrofe se reconoce el orden del mundo, en el que la divinidad impone su norma, y la vocación del hombre al sufrimiento; pero, también, la suprema dignidad y libertad de éste. El héroe nunca es aplastado, pues incluso en el caso del *Edipo rey* hay una suavización final y una continuación (el *Edipo en Colono)* en que el héroe aparece ya purificado y transfigurado. Y su caída procede de su misma fuerza y nobleza.

Sófocles, al mismo tiempo, ha hecho de la tragedia un instrumento más adecuado que Esquilo para expresar matices en la descripción de caracteres: así el de Neoptólemo en *Filoctetes*, el de las heroínas *Antígona* y *Electra* en las tragedias de estos nombres, etc. Hay mucha más acción que en Esquilo y falta la rigidez formal que a veces se acusa en Eurípides. De otra parte Sófocles, que maneja ya tres actores, es el más teatral de los tres trágicos en cuanto a recursos escénicos y a interés por la acción misma como conflicto entre personas, aparte del trasfondo teológico.

Además de las tragedias arriba mencionadas, conservamos aún otras dos, *Ayante* y *Las traquinias*, y un drama satírico incompleto, *Los rastreadores*. Parece que compuso 123 obras.

Los trozos aquí recogidos de Sófocles y Eurípides pertenecen a las partes recitadas por los actores, que, a diferencia de las cantadas por los coros, están compuestas en metros sencillos y dispuestos en largas tiradas homogéneas. Aquí se trata del trímetro yámbico, formado por tres metros yámbicos. Cada metro consta de dos pies yámbicos, de modo que el verso contiene seis de estas unidades métricas. Teóricamente, los seis pies habrían de ser yambos, esto es, combinaciones de una sílaba breve y una larga (∪ —), pero, de hecho, se admiten multitud de sustituciones. En el primer pie puede haber espondeo, tríbraco (∪∪∪), dáctilo o anapesto (∪∪ —); en el segundo y cuarto, tríbraco; en el tercero, espondeo, tríbraco o dáctilo, y en el quinto, espondeo.

La cesura puede ser penthemimeres o hepthemimeres.

Supuesta muerte de Orestes

(Electra 680-763)

En *Electra* (de fecha desconocida; quizá anterior al 413, de que data la tragedia igualmente llamada de Eurípides), Sófocles da su versión de la muerte de Clitemestra, asesinada por su hijo Orestes, que así venga a su padre Agamenón. Sófocles coloca en el centro de la pieza a Electra, la hermana de Orestes, que espera, llena de resentimiento contra su madre, el momento de la venganza para ayudar luego a su hermano. En el pasaje que recogemos aquí, el pedagogo, que se había llevado a Orestes del país, cuenta a Clitemestra la *supuesta muerte de éste en un accidente* de los juegos Píticos. Es un engaño para hacer que la heroína se confíe, pues en realidad Orestes está ya en Argos.

Κἀπεμπόμην πρὸς ταῦτα [1] καὶ τὸ πᾶν φράσω. 680
Κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος [2]
πρόσχημ' ἀγῶνος [3], Δελφικῶν ἄθλων [4] χάριν,
ὅτ' ἦσθετ' ἀνδρὸς [5] ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις [6],
εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας· 685
δρόμου δ' ἰσώσας τῇ φύσει [7] τὰ τέρματα,
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας [8].

[1] A saber, dar noticias de la muerte de Orestes. — [2] Genitivo posesivo. — [3] Genitivo descriptivo ("consistente en unos juegos"). — [4] Depende de χάριν. — [5] Depende de κηρυγμάτων y va con κηρύξαντος; es el heraldo que anuncia el comienzo de las pruebas. — [6] "Juicio", "competición". — [7] Instrumental: "gracias a sus condiciones naturales". — [8] A saber, una corona de laurel. — [9] "Entre

Χώπως μὲν ἐν πολλοῖσι [9] παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη·
ἓν δ' ἴσθ'· ὅσων [10] γὰρ εἰσεκήρυξαν [11] βραβῆς [12] ...
τούτων [13] ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μέν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος [14] στράτευμ' ἀγείραντός ποτε.
Καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν [15] ἰσχύων φυγεῖν.
Κεῖνος γὰρ ἄλλης ἡμέρας [16], ὅθ' ἱππικῶν [17]
ἦν ἡλίου τέλλοντος ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα [18].
Εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες, ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις [19]· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος λευκίππος, Αἰνιὰν γένος·
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
Στάντες δ' ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλῆροις ἔπηλαν [20] καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ [21] σάλπιγγος ᾖξαν· οἱ [22] δ' ἅμα
ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν

---

muchas cosas" (que podría decirte). — [10] Atracción por ὅσα: "cuantos (juegos)". [11] Factitivo: "hicieron anunciar (al heraldo)". — [12] Nominativo de plural arcaico. — [13] Eliminamos un verso precedente que enumera los juegos y parece interpolado. — [14] Va con τοῦ y ἀγείραντος; es decir, Orestes era admirado cuando le proclamaban vencedor como Ὀρέστης Ἀγαμέμνονος Ἀργεῖος. — [15] En prosa se añadiría τις. — [16] Genitivo de tiempo (e igual ἡλίου τέλλοντος en el verso siguiente). — [17] Se entiende (ἁρμάτων): "de carros tirados por caballos". — [18] Anástrofe. — [19] Usado como simple sinónimo de ἵππος. — [20] Aquí κλήροις ἔπηλαν viene a equivaler a ἐκλήρωσαν; los jueces agitan en un casco las piedrecillas (κλῆροι) de los participantes, que se colocan en el orden en que son sacadas. — [21] Epico por ὑπό. — [22] Se refiere al mismo sujeto de ᾖξαν. —

ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη [23] δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις [24] αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
Ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις [25]
ἤφριζον, εἰσέβαλλον [26] ἱππικαὶ πνοαί.
Κεῖνος δ', ὑπ' [27] αὐτὴν ἐσχάτην στήλην [28] ἔχων [29],
ἔχριμπτ' [30] ἀεὶ σύριγγα, δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον [31], εἶργε τὸν προσκείμενον.
Καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι [32]
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς [33],
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον [34],
μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις [35]·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε κἀνέπιπτε [36], πᾶν δ' ἐπίμπλατο [37]
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον [38].
Γνοὺς δ' οὐξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος

715 720 725 730

---

[23] Tmesis (por ἐνεμεστώθη). — [24] Igual a ἕκαστός τις "cada uno". — [25] "La carrera (plural por el abstracto) de las ruedas", "las ruedas que corrían". — [26] "(Alcanzaban)"; es decir, la espuma y el aliento de los caballos de otros carros alcanzaban a los aurigas que aún no les habían adelantado (ὑπερβάλλειν) mucho. — [27] "Junto a". — [28] La meta en torno a la cual se giraba en los dos extremos del hipódromo. — [29] Súplase (ἵππους); "guiando el carro". — [30] "Rozaba" en el sentido de "casi rozaba". — [31] En una cuadriga los dos caballos laterales, que se llamaban σειραῖοι, iban sujetos no por un yugo, sino por tirantes que unían el collar al ἄντυξ o reborde del carro; al girar de derecha a izquierda se deja muy suelto al de la derecha, mientras que se ciñe el de la izquierda todo lo posible. — [32] Es decir, "de boca dura", "indómitos". — [33] "Al dar la vuelta" (ὑποστρέψαντες). — [34] Expresión abreviada: el carro ha terminado la sexta vuelta y está a punto de entrar en la séptima. — [35] Este carro (ὄχοις es plural poético) evidentemente se ha adelantado por la derecha; al no girar el primero y seguir de frente, choca con él desde la izquierda. — [36] Necesitaría un complemento ἄλλῳ, que se extrae de ἄλλον. — [37] Comparación sugerida por un naufragio. — [38] El hipódromo de Delfos estaba en la llanura de Crisa, junto al mar. — [39] "De-

ἔξω παρασπᾷ κάνοκωχεύει παρείς [39]
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
Ἤλαυνε δ' ἔσχατος μέν, ὑστέρας ἔχων
πώλους Ὀρέστης, τῷ τέλει [40] πίστιν φέρων·
ὅπως [41] δ' ὁρᾷ μόνον νιν [42] ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις διώκει, κἀξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
Καὶ τοὺς [43] μὲν [44] ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' [45] ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα, λύων [46] ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου, λανθάνει στήλην ἄκραν
παίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας,
κἀξ ἀντύγων ὤλισθε· σὺν δ' ἐλίσσεται [47]
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον [48].
Στρατὸς [49] δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τόν νεανίαν [50],
οἵ' ἔργα δράσας οἷα λαγχάνει κακά,
φορούμενος πρὸς οὐδας, ἄλλοτ' [51] οὐρανῷ
σκέλη προφαίνων, ἔστε νιν διφρηλάται,
μόλις κατασχεθόντες ἱππικὸν [52] δρόμον,
ἔλυσαν αἱματηρόν, ὥστε μηδένα

---

jando pasar". — [40] "En la victoria final". — [41] Con valor temporal. — [42] Igual a αὐτόν. — [43] Acusativo de tiempo ("durante..."). — [44] Es por oposición a ἔπειτα, es decir, a la vuelta fatal (quizá la última). Después de la retirada de los otros ocho carros, quedaban aún seis vueltas para las doce que se exigían. — [45] "Se mantuvo con éxito (en la carrera)"; es explicado por ὀρθὸς ἐξ ὀρθῶν δίφρων, donde ὀρθός está al tiempo en su sentido primero de "en pie". — [46] "Aflojando"; al girar ha tirado de las riendas para retener el caballo interior; pero las afloja un momento antes de lo debido, por lo que el caballo corre más velozmente y hace que choque el cubo de la rueda. — [47] Tmesis. — [48] "Hipódromo". — [49] "El público". — [50] Proléptico. — [51] Respondiendo a un (ἄλλοτε) implícito antes de φορούμενος. — [52] Igual a ἵππων. — [53] Potencial por causa del

γνῶναι [53] φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
Καί νιν πυρᾷ κέαντες εὐθὺς ἐν βραχεῖ
χαλκῷ [54] μέγιστον σῶμα δειλαίας σποδοῦ [55]
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός. 760
Τοιαῦτά σοι [56] ταῦτ' ἐστίν [57], ὡς μὲν ἐν λόγῳ
ἀλγεινά, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὅπωπ' ἐγὼ κακῶν.

ἄν. — [54] Una urna de bronce. — [55] Genitivo descriptivo ("consistente en..."). — [56] Dativo ético. — [57] Limitativo: "para ser..."

Discusión de Creonte y Hemón

(Antígona 631-771)

En la *Antígona* (representada el año 442 a. J. C.), Sófocles nos presenta el conflicto entre la ley religiosa, que obliga a Antígona a enterrar a su hermano Polinices muerto, y la ley del Estado, personificado en Creonte, que prohibe que Polinices sea enterrado por ser traidor a Tebas. Antígona no cede ante las amenazas del tirano y, sorprendida cuando realizaba su piadosa tarea, es encerrada en una cueva, en la que muere. Pero Creonte es castigado en la persona de su hijo Hemón, prometido de Antígona, que se suicida, y de su mujer Eurídice, que se suicida también al saber la muerte del hijo. En el pasaje que recogemos, Hemón intercede vanamente por Antígona, exponiendo sus razones, y, al final, amenaza a Creonte con su suicidio.

ΚΡΕΩΝ. Τάχ' εἰσόμεσθα [1] μάντεων ὑπέρτερον [2].
Ὦ παῖ, τελείαν ψῆφον [3] ἆρα μὴ [4] κλύων [5]
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες [6] φίλοι;

---

[1] El coro ha preguntado si Hemón viene a lamentarse por la condena de Antígona. — [2] Adverbio: "mejor que los adivinos" (irónico). — [3] Eufemismo para indicar la condena. — [4] Indica que se desea una respuesta "no", pero se teme

ΑΙΜΩΝ. Πάτερ, σός εἰμι, καὶ σύ μοι γνῶμας ἔχων
χρηστὰς ἀπορθοῖς[7], αἷς ἔγωγ' ἐφέφομαι.
Ἐμοὶ[8] γὰρ οὐδεὶς ἀξιώσεται γάμος
μείζων φέρεσθαι[9] σοῦ καλῶς ἡγουμένου.
ΚΡ. Οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν[10],
γνώμης πατρῴας πάντ'[11] ὄπισθεν ἑστάναι.
Τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς[12] καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί[13].
"Οστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
Μή νύν ποτ', ὦ παῖ, τάσδ' ὑφ' ἡδονῆς φρένας
γυναικὸς οὕνεκ'[14] ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο[15] γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. Τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
Ἀλλὰ πτύσας[16] ὡσεί τε δυσμενῆ μέθες[17]
τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινί.
Ἐπεὶ γὰρ αὐτὴν εἶλον ἐμφανῶς ἐγὼ
πόλεως[18] ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ[19] γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. Πρὸς ταῦτ' ἐφυμνείτω Δία
ξύναιμον[20]· εἰ γὰρ δὴ τά γ' ἐγγενῆ[21] φύσει

"sí". — [5] Causal. — [6] "Haga lo que haga". — [7] Súplase (ἐμέ). — [8] Dativo agente. — [9] Depende de μείζων: "más importante de obtener"; de μείζων depende también el genitivo comparativo σοῦ καλῶς ἡγουμένου, que equivale a un abstracto: "que tu buena guía" (cf. lat. *Sicilia amissa*). — [10] Equivale a ἐν θυμῷ ἔχειν o ἐνθυμεῖσθαι. — [11] Sujeto de ἑστάναι. — [12] Final. — [13] "Igual que su padre". — [14] Especifica el anterior ὑφ' ἡδονῆς. — [15] Explicitado por el verso siguiente. — [16] "Despreciándola". — [17] Rige a νυμφεύειν. — [18] Va con πάσης. — [19] Alude a su proclama anterior amenazando con la muerte a quien enterrara a Polinices. — [20] "Consanguíneo", es decir, "protector de la familia". — [21] Abstracto por con-

ἄκοσμα [23] θρέψω, κάρτα [23] τοὺς ἔξω γένους. 660
Ἐν τοῖς γὰρ οἰκείοισιν [24] ὅστις ἔστ' ἀνὴρ
χρηστὸς φανεῖται κἀν πόλει δίκαιος ὤν.
Ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται
ἢ τοὐπιτάσσειν τοῖς κρατύνουσιν νοεῖ,
οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν. 665
Ἀλλ' ὃν πόλις στήσειε [26], τοῦδε χρὴ κλύειν·
καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία [27].
Καὶ τοῦτον ἂν τὸν ἄνδρα [28] θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν [29] ἄρχεσθαι θέλειν,
δορός [30] τ' ἂν ἐν χειμῶνι προστεταγμένον 670
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
Αὕτη πόλεις ὄλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε συμμάχου δορὸς [31]
τροπὰς καταρρήγνυσι [32]· τῶν δ' ὀρθουμένων [33] 675
σῴζει τὰ πολλὰ σώματ' ἡ πειθαρχία.
Οὕτως ἀμυντέ' ἐστὶ [34] τοῖς κοσμουμένοις [35],
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα·
κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς [36] ἐκπεσεῖν,
κοὐκ ἄν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν. 680

ΧΟΡΟΣ. Ἡμῖν μέν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα [37],
λέγειν φρονοῦντως ὧν [38] λέγεις δοκεῖς πέρι.

ΑΙ. Πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας

---

creto (como en 641 γόνους), es decir, τοὺς ἐν γένει. — [22] Predicado. — [23] "Más aún". — [24] Neutro. — [25] "No es posible". — [26] Optativo sin ἄν (iterativo) en condicional con apódosis en presente (arcaísmo por ἂν στήσῃ). — [27] Eufemismo por τἄδικα. — [28] El que se comporta como se ha dicho. — [29] Repite el ἄν anterior insistiendo en el carácter potencial de todo el período; vuelve a repetirse en 670. — [30] Igual a μάχης. — [31] Igual a στρατοῦ. — [32] "Produce la derrota" (τροπάς es el plural de un abstracto que indica sus distintas realizaciones). — [33] "De los vencedores". — [34] Igual a ἀμυντέον ἐστί, construcción impersonal del adjetivo verbal (lo mismo ἡσσητέα en 678). — [35] Neutro (τὰ κοσμούμενα "las disposiciones"). — [36] Genitivo agente. — [37] "Somos engañados por la edad" (el coro está formado por viejos tebanos). — [38] Depende de πέρι (por anástro-

πάντων ὅσ' ἐστὶ κτημάτων ὑπέρτατον [39].
'Εγὼ δ' ὅπως [40] σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην μήτ' ἐπισταίμην [41] λέγειν·
γένοιτο μεντἂν [42] χἀτέρῳ καλῶς ἔχον [43].
Σοῦ [44] δ' οὖν πέφυκα [45] πάντα προσκοπεῖν δσα
λέγει τις ἢ πράσσει τις ἢ ψέγειν ἔχει.
Τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ
λόγοις τοιούτοις [46], οἷς σὺ μὴ τέρψῃ κλύων.
'Εμοὶ δ' ἀκούειν ἔσθ' [47] ὑπὸ σκότου [48] τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς [49] ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων [50] φθίνει,
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' [51] ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μήθ' ὑπ' οἰωνῶν τινος·
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς [52] λαχεῖν;
Τοιάδ' ἐρεμνὴ [53] σῖγ' ἐπέρχεται φάτις.
'Εμοὶ δέ σοῦ πράσσοντος [54] εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
Τί γὰρ πατρὸς θάλλοντος εὐκλείας [55] τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί [56];
Μή νυν ἓν ἦθος [57] μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς [58] σύ, κοὐδὲν ἄλλο, τοῦτ' [59] ὀρθῶς ἔχειν [60].

---

fe). — [39] Predicado de φρένας; es neutro porque se piensa en (κτῆμα). — [40] Introduce una completiva. — [41] Cupitivo, no potencial (de ahí el μήτε, no οὔτε); hay, pues, inconcinidad. — [42] "Podría ocurrírsele". — [43] En prosa se añadiría un (τι). — [44] Depende de προσκοπεῖν ("en tu interés"), por analogía con la construcción con genitivo de προκήδομαι, etc. — [45] Con infinitivo para indicar capacidad. — [46] "Para tales palabras". Es decir, no osan pronunciarlas ante ti. — [47] "Es posible". — [48] "Furtivamente". — [49] "(Diciendo) que..." — [50] "Por causa de...". — [51] Referido a ὀλέσθαι. — [52] En sentido figurado seguramente. — [53] "Oscura", "secreta". — [54] Genitivo comparativo. — [55] Genitivo comparativo del que depende πατρὸς θάλλοντος. — [56] Entiéndase, τί ἄγαλμα μεῖζόν ἐστι πρὸς παίδων (o sea, εὐκλείας παίδων πατρί). — [57] "Modo de pensar". — [58] Rige a ἔχειν. — [59] Sujeto de ἔχειν, equivale a τὸ ἓν ἦθος μοῦνον ἔχειν. —

"Οστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες [61] ὤφθησαν [62] κενοί.
Ἀλλ' ἄνδρα, κεἴ τις ᾖ [63] σοφός, τὸ μανθάνειν 710
πόλλ' αἰσχρὸν οὐδὲν [64] καὶ τὸ μὴ τείνειν ἄγαν.
Ὅρᾷς [65] παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων [66] ὑπείκει, κλῶνας ὡς ἐκσῴζεται,
τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται.
Αὕτως δὲ ναὸς [67] ὅστις ἐγκρατὴς [68] πόδα 715
τείνας ὑπείκει μηδέν, ὑπτίοις [69] κάτω
στρέψας [70] τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
Ἀλλ' εἶκε θυμῷ καὶ μετάστασιν δίδου.
Γνώμη γάρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου [71]
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ 720
φῦναι [72] τὸν ἄνδρα πάντ' [73] ἐπιστήμης πλέων·
εἰ δ' οὔν [74], φιλεῖ [75] γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων [76] εὖ καλὸν τὸ μανθάνειν.
ΧΟ. Ἄναξ, σέ τ' εἰκὸς [77], εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ' αὖ τοῦδ' [78]· εὖ γὰρ εἴρηται διπλῇ [79]. 725
ΚΡ. Οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν ὑπ' ἀνδρὸς τηλικοῦδε τὴν φύσιν [80];

---

[60] El verso todo forma un paréntesis que es como un eco del anterior. — [61] Participio temporal; introduce una comparación del interior del hombre con el de unas tablillas de escribir que se abren para leerlas. — [62] Aoristo gnómico. — [63] Subjuntivo eventual sin ἄν (arcaico) en una concesiva. — [64] Aproximadamente igual a οὐκ αἰσχρόν; τείνειν es "obstinarse". — [65] Rige a ὡς "cómo". — [66] Genitivo partitivo. — [67] Genitivo dórico de ναῦς usado en la tragedia; depende de πόδα, que es el extremo inferior de la vela o las cuerdas que de él tiran. — [68] Proléptico ("dejándolo bien sujeto"). — [69] "Con los bancos invertidos" (o sea, "con la nave volcada"). — [70] Absoluto: "dando la vuelta (a la nave)". — [71] Genitivo ablativo del que depende ἐμοῦ. — [72] Es sujeto de πρεσβεύειν. — [73] Adverbial con πλέων. — [74] Hay que completar "pero si (esto no es así)"; es un eufemismo, por cortesía para Creonte. — [75] "Suele". — [76] Genitivo dependiente de μανθάνειν. — [77] Súplase (ἐστί). — [78] Hemón. — [79] "(Por ambas partes)". — [80] "Por su nacimiento", "de edad". — [81] Se entiende (διδάσκου). — [82] Es

ΑΙ. Μηδέν[81] γ' ὃ μὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,
οὐ τόν χρόνον χρὴ μᾶλλον ἢ τἄργα[82] σκοπεῖν.
ΚΡ. Ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας[83] σέβειν;
ΑΙ. Οὐδ'[84] ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.
ΚΡ. Οὐχ[85] ἥδε γὰρ τοιᾶδ' ἐπείληπται νόσῳ;
ΑΙ. Οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.
ΚΡ. Πόλις γάρ ἡμῖν ἁμὲ[86] χρὴ τάσσειν ἐρεῖ;
ΑΙ. Ὁρᾷς τόδ' ὡς[87] εἴρηκας ὡς ἄγαν νέος;
ΚΡ. Ἄλλῳ γὰρ ἢ 'μοὶ[88] χρή με τῆσδ' ἄρχειν χθονός;
ΑΙ. Πόλις γάρ οὐκ ἔσθ' ἥτις ἀνδρός ἐσθ' ἑνός.
ΚΡ. Οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;
ΑΙ. Καλῶς ἐρῆμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος[89].
ΚΡ. Ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ.
ΑΙ. Εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.
ΚΡ. Ὦ παγκάκιστε, διὰ δίκης ἰὼν[90] πατρί;
ΑΙ. Οὐ γὰρ δίκαιά[91] σ' ἐξαμαρτάνονθ' ὁρῶ.
ΚΡ. Ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;
ΑΙ. Οὐ[92] γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
ΚΡ. Ὦ μιαρὸν ἦθος καὶ γυναικὸς[93] ὕστερον.
ΑΙ. Οὐ τἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.
ΚΡ. Ὁ γοῦν[94] λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε.
ΑΙ. Καὶ σοῦ γε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων[95].
ΚΡ. Ταὐτην ποτ' οὐκ ἔσθ' ὡς[96] ἔτι ζῶσαν γαμεῖς.

---

decir, una conducta honorable. — [83] Antígona. — [84] Implica una contestación "no" a la pregunta de Creonte: Hemón no considera que Antígona entre en la categoría de los ἀκοσμοῦντες. — [85] "¿Es que...?", "¿Entonces...?"; igual en 734, 736, 744. — [86] Crasis; la repetición del pronombre personal indica la infatuación de Creonte; igual en 736. — [87] El primer ὡς introduce una completiva, el segundo es comparativo. — [88] "Para mí", "según mi criterio". — [89] Irónico. — [90] "Poniendo pleito", "querellándote"; entiéndase (προκήδει μου). — [91] Equivale a ἄδικα, acusativo interno no etimológico. — [92] Hay elíptico un (ἁμαρτάνεις) precedente. — [93] Genitivo comparativo; la idea es que sigue las iniciativas de una mujer. — [94] "Al menos (aun concediendo que tenga razón Creonte)". — [95] Los dioses infernales, que prescriben la obligación de enterrar a los muertos. — [96] Introduce una oración final *(non est ut...)* — [97] A

AI. Ἥδ' οὖν θανεῖται καὶ θανοῦσ' ὀλεῖ τινα [97].
ΚΡ. Ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχῃ θρασύς;
AI. Τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν [98];
ΚΡ. Κλαίων φρενώσεις, ὧν φρενῶν αὐτὸς κενός.
AI. Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν. 755
ΚΡ. Γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με [99].
AI. Βούλει λέγειν [100] τι καὶ λέγων μηδὲν κλύειν;
ΚΡ. Ἄληθες; Ἀλλ' οὐ τόνδ' Ὄλυμπον [101], ἴσθ' ὅτι [102],
χαίρων ἐπὶ ψόγοισι [103] δεννάσεις ἐμέ.
Ἄγαγε [104] τὸ μῖσος [105], ὡς κατ' ὄμματ [106] αὐτίκα 760
παρόντι θνῄσκῃ πλησία τῷ νυμφίῳ [107].
AI. Οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτέ,
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ
τούμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν,
ὡς τοῖς θέλουσι [108] τῶν φίλων μαίνῃ ξυνών. 765
ΧΟ. Ἀνὴρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς [109] ταχύς·
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.
ΚΡ. Δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' [110] ἰών·
τὼ δ' οὖν κόρα τὼδ' [111] οὐκ ἀπαλλάξει μόρου.
ΧΟ. Ἄμφω μὲν αὐτὼ καὶ κατακτεῖναι νοεῖς; 770
ΚΡ. Οὐ τήν γε μὴ θιγοῦσαν [112]· εὖ γὰρ οὖν λέγεις.

Creonte. — [98] Es decir, Creonte no amenaza, sino que intenta llevar al buen camino a un hombre equivocado. — [99] "No intentes engañarme" (con pretextos sobre la razón de tu posición). — [100] Viene a ser "atacarme"; en esos ataques está la justificación de las acusaciones de Hemón. — [101] Entiéndase μὰ τὸν Ὄλυμπον. — [102] Pleonástico. — [103] "En medio de censuras", "censurándome". — [104] "Traed", dirigido a servidores o esclavos. — [105] Es Antígona; usa el abstracto para mayor desprecio. — [106] "Ante tu vista". — [107] Depende de πλησία. — [108] "Con los que quieran". — [109] Causal; se refiere a ταχύς. — [110] Depende de la partícula comparativa: "en relación con un hombre". — [111] En su ira, Creonte incluye también a Ismene en la condena. — [112] A la que no ha enterrado a Polinices (Ismene).

Lamentos de Filoctetes

(Filoctetes 914-1080)

El *Filoctetes* es una de las últimas piezas de Sófocles (se representó el 409 a. J. C.) y su principal interés es la descripción del noble carácter de Neoptólemo, el joven hijo de Aquiles, de quien se sirve Odiseo para quitar con un engaño a Filoctetes su arco y flechas, heredadas de Heracles, que eran necesarias según los oráculos para la toma de Troya. Neoptólemo se presenta en la cueva que Filoctetes, lleno de resentimiento, habita en Lemnos desde que fue abandonado allí por los griegos, que no podían soportar la llaga infectada del héroe; gana su confianza y se queda con el arco. Pero siente arrepentimiento, vacila; entonces aparece Odiseo, que se lleva de allí a Neoptólemo y el arco, dejando a *Filoctetes* abandonado a su desesperación. Esta es la escena que recogemos aquí. Posteriormente, Neoptólemo, arrepentido y haciendo frente a Odiseo, devuelve el arco a Filoctetes y, al no lograr convencerle para que deje su antiguo resentimiento y vaya a ayudar a los griegos ante Troya, se dispone a acompañarle a su patria. Pero la aparición de Heracles hace a Filoctetes ceder y plegarse al plan divino, que hace de él su instrumento en la toma de Troya.

ΦΙΛΟΚΤΗΤΗΣ. Τί ποτε λέγεις, ὦ τέκνον; Ὡς οὐ μανθάνω.
ΝΕΟΠΤΟΛΕΜΟΣ. Οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς[1] τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. Οἴμοι, τί εἶπας;
ΝΕ. Μὴ στέναζε πρὶν μάθῃς[2].
ΦΙ. Ποῖον μάθημα; Τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ. Σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ'[3], ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. Καὶ ταῦτ' ἀληθῆ[4] δρᾶν νοεῖς;

---

[1] "En busca de". — [2] Sin ἄν (arcaísmo). — [3] "De esta miseria" (la enfermedad y abandono de Filoctetes). — [4] Adjetivo predicativo equivalente a un adver-

ΝΕ. Πολλὴ κρατεῖ
τούτων[5] ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. Ἀπόλωλα τλήμων, προδέδομαι. Τί μ', ὦ ξένε,
δέδρακας; Ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
ΝΕ. Ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει[6] κλύειν
τὸ τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποεῖ.
ΦΙ. Ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα καὶ πανουργίας
δεινῆς τέχνημ'[7] ἔχθιστον, οἷά μ' εἰργάσω,
οἵ' ἠπάτηκας· οὐδ' ἐπαισχύνῃ μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
Ἀπεστέρηκας τὸν βίον[8] τὰ τόξ' ἑλὼν·
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
Πρὸς θεῶν πατρῴων[9], τὸν βίον μή μου ἑλῃς.
Ὤμοι τάλας. Ἀλλ' οὐδέ προσφωνεῖ μ' ἔτι,
ἀλλ' ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾷ πάλιν[10].
Ὦ λιμένες[11], ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἷδ' ὅτῳ λέγω[12],
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν[13]
οἵ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ Ἀχιλλέως·
ὁμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προσθεὶς τε χεῖρα δεξιὰν[14], τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους[15] ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι[16] θέλει.

---

bio. — [5] "Dispone estas cosas". — [6] "A los magistrados o jefes". — [7] "Obra de arte de maldad" (genitivo descriptivo); todos estos insultos van dirigidos a Neoptólemo. — [8] "La vida" (en cuanto que ahora no podrá buscarse el sustento con la caza). — [9] Es decir, los dioses de Aquiles y Peleo. — [10] "Hacia atrás"; en realidad, Neoptólemo vuelve la vista por vergüenza de su acción. — [11] "Bahías" (no necesariamente "puertos"). — [12] Subjuntivo (sin ἄν por arcaísmo). — [13] Súplase (*παρεῖναι*). — [14] *Es decir, confirmando el juramento con la acción* de dar la mano a Filoctetes. — [15] Aquí τοῦ... Ἡρακλέους es un genitivo posesivo (del que depende Διός) que va en aposición a μου. — [16] Transitivo. —

945 Ὡς [17] ἄνδρ' ἑλὼν [18] ἰσχυρὸν ἐκ βίας μ' ἄγει,
κοὐκ οἶδ' ἐναίρων [19] νεκρόν, ἢ καπνοῦ σκιάν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν [20] σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
Νῦν δ' ἡπάτημαι δύσμορος· τί χρὴ με δρᾶν;
950 <Ἀλλ'> ἀπόδος· ἀλλὰ νῦν ἔτ' ἐν σαυτῷ γενοῦ.
Τί φῄς; σιωπᾷς. Οὐδέν εἰμ' [21] ὁ δύσμορος.
Ὦ σχῆμα πέτρας δίπυλον [22], αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλός [23], οὐκ ἔχων τροφήν,
ἀλλ' αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
955 οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοισίδ', ἀλλ' αὐτὸς τάλας
θανὼν παρέξω δαῖθ' ὑφ' ὧν [24] ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε θηράσουσι νῦν·
φόνον φόνου [25] δὲ ῥύσιον τείσω τάλας
960 πρὸς τοῦ δοκοῦντος [26] οὐδὲν εἰδέναι κακόν.
Ὅλοιο — μὴπω, πρὶν μάθοιμ' εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μή, θάνοις κακῶς.
ΧΟ. Τί δρῶμεν; Ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στι [27] καὶ τοῖς τοῦδε προσχωρεῖν [28] λόγοις.
965 ΝΕ. Ἐμοὶ μὲν οἰκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
ΦΙ. Ἐλέησον, ὦ παῖ, πρός θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος [29] ἐκκλέψας ἐμέ.
ΝΕ. Οἴμοι, τί δράσω; Μήποτ' ὤφελον [30] λιπεῖν
970 τὴν Σκῦρον [31]· οὕτω τοῖς παροῦσιν ἄχθομαι.

---

[17] Modal. — [18] "Habiendo hecho prisionero". — [19] Predicativo con οἶδε. — [20] Súplase (εἷλε). — [21] "Estoy muerto". — [22] Equivale a πέτρα διπύλου σχήματος o πέτρα δίπυλος. — [23] Es aquí "desarmado". — [24] Súplase el antecedente (τούτοις); las bestias de que se alimentaba van ahora a devorarle. — [25] Aquí φόνον es la muerte de Filoctetes; y φόνου, la de las bestias que él mataba. — [26] "Por culpa del que parecía..." — [27] "De ti depende". — [28] Es decir, τὸ προσχωρεῖν (el τό se abstrae de τὸ πλεῖν). — [29] En παρῇς σαυτοῦ... ὄνειδος tenemos construcción poética en vez de la usual con infinitivo (παρῇς σεαυτὸν ὀνειδίζειν). — [30] Irreal de pasado. — [31] Su patria. —

ΦΙ. Οὐκ εἶ κακὸς σύ, πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά· νῦν δ' ἄλλοισι δούς [32],
οἷς εἰκός [33], ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕ. Τί δρῶμεν, ἄνδρες;
ΟΔ. Ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
Οὐκ εἶ, μεθεὶς τὰ τόξα ταῦτ' ἐμοί, πάλιν [34]; 975
ΦΙ. Οἴμοι, τίς ἀνήρ; Ἆρ' Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ', ὃν εἰσορᾷς.
ΦΙ. Οἴμοι· πέπραμαι κἀπόλωλ'· ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με κἀπονοσφίσας ὅπλων.
ΟΔ. Ἐγώ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε. 980
ΦΙ. Ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα.
ΟΔ. Τοῦτο μέν,
οὐδ' ἢν θέλῃ [35], δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς [36], ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. Ἐμ', ὦ κακῶν κάκιστε καὶ τολμήστατε,
οἷδ' ἐκ βίας ἄξουσιν;
ΟΔ. Ἢν μὴ ἕρπῃς ἐκών. 985
ΦΙ. Ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον [37], ταῦτα δῆτ' ἀνασχετά,
εἴ μ' οὗτος ἐκ τῶν σῶν [38] ἀπάξεται βίᾳ;
ΟΔ. Ζεύς ἐσθ', ἵν' εἰδῇς, Ζεύς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ. 990
ΦΙ. Ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς [39] τίθης.
ΟΔ. Οὔκ, ἀλλ' ἀληθεῖς. Ἡ δ' ὁδὸς πορευτέα.
ΦΙ. Οὔ φημ'.
ΟΔ. Ἐγὼ δὲ φημί· πειστέον τάδε [40].

---

[32] Súplase (τὰ αἰσχρά): "dejando a otros las acciones vergonzosas". — [33] Súplase (ἐστὶ δοῦναι). — [34] Con εἶ, que así significa "retroceder". — [35] Concesiva. — [36] El sujeto son los esclavos que entran con Odiseo (cf. v. 1008). — [37] El fuego del volcán Mosiclo, en la misma isla de Lemnos, cuya actividad era atribuída a Hefesto. — [38] "Tu reino", es decir, Lemnos. — [39] En el sentido de que se les atribuye una mentira. — [40] Complemento directo del adjetivo verbal

ΦΙ. Οἴμοι τάλας. Ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν, οὐδ' ἐλευθέρους.
ΟΔ. Οὔκ, ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ καὶ κατασκάψαι βίᾳ.
ΦΙ. Οὐδέποτέ γ'· οὐδ' ἦν χρῇ με πᾶν παθεῖν κακόν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον [41].
ΟΔ. Τί δ' ἐργασείεις;
ΦΙ. Κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ [42] πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. Ξυλλάβετον αὐτόν· μὴ 'πὶ τῷδ' [43] ἔστω τάδε.
ΦΙ. Ὦ χεῖρες, οἷα πάσχετ' ἐν [44] χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
Ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἵ' αὖ [45] μ' ὑπῆλθες, ὡς μ' ἐθηράσω, λαβὼν
πρόβλημα [46] σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ᾔδει πλὴν τὸ προσταχθὲν ποεῖν,
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς [47] τ' αὐτὸς ἐξήμαρτεν οἷς τ' ἐγὼ 'παθον.
Ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν [48] βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυῆ [49] τ' ὄντα κοὐ θέλονθ' ὅμως
εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν [50].
Καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προυβάλου
ἄφιλον, ἔρημον, ἄπολιν, ἐν ζῶσιν νεκρόν;
Φεῦ.
Ὄλοιο· καί σοι πολλάκις τόδ' ηὐξάμην.
Ἀλλ', οὐ γάρ [51] οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι,

---

usado impersonalmente. — [41] Se refiere a la isla de Lemnos. — [42] Locativo, va con αἱμάξω (y πέτρας con πεσών). — [43] "En su poder". — [44] Indica circunstancia. — [45] Porque ya antes le traicionó, cuando hizo que le abandonaran en Lemnos. — [46] "Como pantalla". — [47] Dativo-instrumental indicando causa. — [48] "A través de un lugar retirado", "desde la oscuridad". — [49] "No apto" (para el mal). — [50] Dicho en mal sentido. — [51] Introduce una oración causal referida

σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὖθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς[52] σοῦ τε καὶ τῶν Ἀτρέως[53]
διπλῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
Καίτοι σὺ μὲν κλοπῇ[54] τε κἀνάγκῃ ζυγεὶς
ἔπλεις[55] ἅμ' αὐτοῖς, ἐμὲ δέ τὸν πανάθλιον,
ἑκόντα πλεύσαντ' ἑπτὰ ναυσὶ ναυβάτην,
ἄτιμον ἔβαλον[56], ὡς σὺ φῄς, κεῖνοι δὲ σέ.
Καὶ νῦν τί μ' ἄγετε; Τί μ' ἀπάγεσθε; Τοῦ χάριν;
Ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν[57] πάλαι.
Πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι[58]
χωλός, δυσώδης; Πῶς θεοῖς ἔξεστ' ἐμὲ[59]
λεύσσοντα σ' αἴθειν ἱερά[60]; Πῶς σπένδειν ἔτι;
Αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
Κακῶς ὄλοισθ'· ὀλεῖσθε δ' ἡδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
Ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον[61]
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ'[62] ὑμᾶς ἐμοῦ[63].
Ἀλλ', ὦ πατρῷα γῆ θεοί τ' ἐπόψιοι,
τείσασθε, τείσασθ' ἀλλὰ τῷ χρόνῳ[64] ποτέ
ξύμπαντας αὐτούς, εἴ τι κἄμ' οἰκτίρετε·

---

a la principal que sigue. — [52] Como ὑπό. — [53] "(Hijos) de Atreo" (Agamenón y Menelao). — [54] "Artimaña". — [55] El mito cuenta que Odiseo fingió locura para no ir a Troya, pero fue descubierto por Palamedes. — [56] Sujeto, los Atridas, que a su vez atribuían la responsabilidad a Odiseo. — [57] Dativo de relación: "para vosotros". — [58] Dativo ético. — [59] Complemento directo de λεύσσοντα; Filoctetes había sido dejado en Lemnos, según Odiseo (v. 8 ss.), porque el hedor de la herida y sus gritos no permitían hacer sacrificios gratos a la divinidad. — [60] "Celebrar sacrificios" (consumiendo con el fuego las partes de las víctimas designadas por el ritual). — [61] Es acusativo interno (no etimológico) de ἐπλεύσατε. — [62] Paso a la irrealidad de presente. — [63] Depende de κέντρον como un genitivo objetivo (κέντρον viene a usarse como sinónimo de ἐπιθυμία, πόθος). — [64] "Aunque sea tarde". — [65] Impersonal: "si hubiera lugar u oportu-

ὡς ζῶ μὲν οἰκτρῶς, εἰ δ' ἴδοιμ' ὁλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.
ΧΟ. Βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.
ΟΔ. Πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τά τοῦδ' ἔπη,
εἰ μοι παρείκοι[65]· νῦν δ' ἑνός κρατῶ λόγου.
Οὐ[66] γὰρ[67] τοιούτων[68] δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις[69],
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
Νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν εἰς σέ[70]· νῦν δέ σοί γ' ἑκὼν ἑκστήσομαι[71].
Ἄφετε γὰρ αὐτόν, μηδὲ προσψαύσητ' ἔτι·
ἐᾶτε μίμνειν. Οὐδὲ σοῦ προσχρῄζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην[72] ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν[73] ἄν
τούτων[74] κρατύνειν, μηδ' ἐπιθύνειν[75] χερί.
Τί δῆτα σοῦ δεῖ; Χαῖρε[76] τὴν Λῆμνον πατῶν·
ἡμεῖς δ' ἴωμεν· καὶ τάχ' ἂν τὸ σὸν γέρας[77]
τιμὴν ἐμοὶ νείμειεν, ἣν σὲ χρῆν ἔχειν.
ΦΙ. Οἴμοι· τί δράσω δύσμορος; Σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανῇ;
ΟΔ. Μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.
ΦΙ. Ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς[78] ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;
ΟΔ. Χώρει σύ[79]· μὴ πρόσλευσσε, γενναῖός περ ὤν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.

---

nidad". — [66] "Dónde". — [67] Abre una afirmación. — [68] Eufemismo para no decir δολίων o alguna antítesis al δικαίων que sigue. — [69] "Prueba, concurso". — [70] "Con relación a ti". — [71] En el sentido de "retirarse" (ante uno, en dativo) de una prueba gimnástica. — [72] El manejo del arco. — [73] "De ningún modo", es más fuerte que οὐκ (se refiere a κάκιον). — [74] Súplase (τῶν τόξων). — [75] Súplase (αὐτά). — [76] "Queda tranquilo", "pásalo bien". — [77] A saber, el arco. — [78] Genitivo agente. — [79] Dirigido a Neoptólemo. — [80] En el sentido de

ΦΙ. Ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
λειφθήσομ' ἤδη κοὐκ ἐποικτιρεῖτέ με;
ΧΟ. Οὐδ' ἔστιν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χἠμεῖς φαμεν.
ΝΕ. Ἀκούσομαι [80] μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον εἰς ὅσον τά τ' ἐκ νεὼς [81]
στείλωσι ναῦται καὶ θεοῖς εὐξώμεθα.
Χοὗτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν' ἡμῖν. Νῷ μὲν οὖν ὁρμῶμεθον [82],
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι [83] ταχεῖς.

"oír decir de sí". — [81] En vez de ἐν νηί, por referencia a la distancia a que Neoptólemo está de ella. — [82] Subjuntivo voluntativo. — [83] Infinitivo imperativo.

EURIPIDES

Eurípides (que parece que vivió entre los años 485 y 406 a. J. C.) es, sin duda, de origen y posición social inferior a los otros dos trágicos; permaneció apartado, a lo que parece, de la política ateniense, aunque en modo alguno desinteresado de ella.

Eurípides es más bien un intelectual, al tiempo que un gran lírico, y está muy influido por la corriente de pensamiento racional promovida por la sofística. Sin que esto quiera decir que esté absolutamente de acuerdo con ella, la influencia es clara, no sólo en lo formal (retórica, afán razonador, etc.), sino también en la posición crítica ante las tradiciones heredadas que son tema de sus tragedias: así, por ejemplo, el abandono de Creúsa por Apolo en *Ión* o la cruel venganza de Hera en el *Heracles loco*. Su problema consiste en que forzosamente ha de trabajar con este material. Pero con frecuencia logra humanizarlo, introduciendo en el mundo heroico los problemas y los hombres de su propio tiempo y, sobre todo, el análisis de la pasión y de todo lo afectivo, que ahora es descubierto al derrumbarse los tradicionales ideales colectivos y de dominio de sí: piénsese en los temas eróticos de *Medea* o *Hipólito*, en la religiosidad exaltada de *Las bacantes*, en el análisis del sacrificio voluntario en *Ifigenia en Aulide* y *Las fenicias*, etc. Hombre de grandes contrastes, Eurípides es al tiempo razonador y discursivo —a veces antipoético—, pero también es un des-

cubridor de lo más profundo del corazón humano. Y, al tiempo, explora territorios nuevos, como cuando prefigura la comedia nueva en *Ión* o la llamada novela griega en *Ifigenia en Táuride* y *Helena*.

Poco apreciado en su tiempo por lo que tuvo de revolucionario e innovador dentro del mundo tradicional de la tragedia, bastante desigual por otra parte, fue el autor preferido de la época helenística, que vio en su teatro el espejo de sus propios problemas e inquietudes. De ahí, en definitiva, que se hayan conservado más obras suyas que de Esquilo y Sófocles juntos: dieciocho (o diecinueve si se cuenta el *Reso*, seguramente no suya). Además de las ya mencionadas, citemos *El cíclope* (drama satírico), *Alcestis*, *Los Heraclidas*, *Andrómaca*, *Hécuba*, *Las suplicantes*, *Las troyanas*, *Electra*, *Orestes*.

Sobre la métrica, cf. pág. 64.

Monólogo de Medea

(Medea 1021-1080)

En *Medea,* representada el 431 a. J. C., Eurípides nos presenta a esta hechicera bárbara que, después de salvar a Jasón cuando éste conquistó el vellocino de oro, llega casada con él a Corinto, donde Jasón la abandona para casarse con Creúsa, la hija del rey del país. En su dolor, Medea encuentra la manera de vengarse dando muerte a Creúsa y a los hijos que tuvo con Jasón; luego huye en un carro alado. Nuestro fragmento comprende el monólogo de Medea cuando vacila entre respetar a sus hijos o satisfacer su deseo de venganza dándoles muerte.

ΤΩ τέκνα, τέκνα, σφῷν μέν ἔστι δή πόλις [1]
καὶ δῶμ', ἐν ᾧ, λιπόντες ἀθλίαν ἐμέ,
οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὀνάσθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ' ἀνασχεθεῖν [2].
ΤΩ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας [3].
Ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
ΤΗ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας

[1] Con doble sentido, como los dos versos siguientes; alude al Hades, adonde irán los niños una vez muertos. — [2] Enumera las ceremonias nupciales en que interviene la madre del novio. — [3] Genitivo causal en una exclamación. —

πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν[4] τ' ἐμὲ
καὶ κατθανοῦσαν[5] χερσὶν εὖ περιστελεῖν[4],
ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ
γλυκεῖα φροντίς. Σφῷν γάρ ἐστερημένη
λυπρὸν διάξω βίοτον ἄλγεινόν τ' ἐμοί.
Ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου[6].
Φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα;
Τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἰαῖ· τί δράσω; Καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
Οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε. Χαιρέτω βουλεύματα.
Καίτοι τί πάσχω; Βούλομαι γέλωτ' ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ'. Ἀλλὰ τῆς ἐμῆς κάκης[7],
τὸ καὶ προσέσθαι[8] μαλθακοὺς λόγους φρενί.
Χωρεῖτε, παῖδες, ἐς δόμους. Ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν[9],
αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ[10].
Ἃ ἄ.
Μὴ δῆτα, θυμέ, μὴ σὺ γ' ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ[11] μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
Μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους ἀλάστορας[12],
οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως[13] ἐχθροῖς ἐγὼ

---

[4] Depende de εἶχον ἐλπίδας, construído como si fuera ἤλπιζον. — [5] Por καταθανοῦσαν (hay apócope). — [6] Eufemismo. — [7] Genitivo exclamativo. — [8] Aquí τό... προσέσθαι es infinitivo exclamativo. — [9] Eufemismo; se refiere al sacrificio de los niños. — [10] "Debilitaré", "dejaré inactiva". — [11] Fuera de Corinto (en Atenas, adonde va a huir Medea). — [12] Genios que atraen la desgracia

παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι [14] ...
Πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται.
Καὶ δὴ 'πὶ κρατὶ στέφανος [15], ἐν πέπλοισι δὲ
νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
'Αλλ', εἶμι γάρ δὴ τλημονεστάτην ὁδόν,
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,
παῖδας προσειπεῖν [16] βούλομαι. — Δότ', ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι στόμα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενές τέκνων,
εὐδαιμονοῖτον, ἀλλ' ἐκεῖ [17]· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'. Ὦ γλυκεῖα προσβολή,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ'· οὐκέτ' εἰμὶ προσβλέπειν
οἷα τε παῖδας, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

y la muerte, comparables a las κῆρες. — [13] Introduce una oración final. — [14] A continuación suprimimos dos versos que son idénticos a 1240-41, de donde seguramente han sido *traídos para interpolarlos aquí*. — [15] La *corona* y el peplo regalados a Creúsa, que la harán morir entre las llamas. — [16] "Despedirme de". — [17] Los adverbios ἐκεῖ y ἐνθάδε son eufemismos para designar el otro mundo y éste.

Dioniso desafía a Penteo

(Bacantes 434-518)

En *Las bacantes*, Eurípides, poco antes de su muerte, celebra con religiosidad el mito del castigo de Penteo, que pretendió oponerse a la propagación del culto de Dioniso. Este, acompañado de un grupo de bacantes, propaga los ritos (ὄργια, τελεταί) de su religión mística y exaltada, cuyos fieles se creían penetrados por el dios.

Tomando esto como mero desenfreno e inmoralidad, Penteo, el rey de Tebas, hace prender al dios, conocido aún solamente como "el extranjero", y en la presente escena se enfrenta con él. Posteriormente el dios, cuya superioridad moral sobre Penteo se describe en nuestra escena, huirá de la prisión y se vengará cruelmente de Penteo, destrozado por las mujeres de su familia, sectarias de Dioniso.

ΘΕΡΑΠΩΝ. Πενθεῦ, πάρεσμεν τήνδ' ἄγραν[1] ἠγρευκότες
435 ἐφ' ἣν ἔπεμψας, οὐδ' ἄκρανθ'[2] ὡρμήσαμεν.
'Ο θὴρ δ' ὅδ' ἡμῖν πρᾷος[3] οὐδ' ὑπέσπασεν
φυγῇ πόδ', ἀλλ' ἔδωκεν οὐκ ἄκων χέρας[4]·
οὐδ' ὠχρός[5], οὐδ' ἥλλαξεν οἰνωπὸν γένυν,
γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο
440 ἕμενέ τε, τοὐμὸν[6] εὐτρεπὲς ποιούμενος.
Κἀγὼ δι' αἰδοῦς εἶπον· «Ξ[7]Ω ξέν', οὐχ ἑκὼν
ἄγω σε, Πενθέως δ' ὅς μ' ἔπεμψ' ἐπιστολαῖς»[7].
"Ας δ' αὖ[8] σὺ Βάκχας εἶρξας, ἃς συνήρπασας
κάδησας ἐν δεσμοῖσι πανδήμου στέγης,
445 φροῦδαί γ' ἐκεῖναι[9] λελυμέναι πρὸς ὀργάδας[10]
σκιρτῶσι Βρόμιον ἀνακαλούμεναι θεόν·
αὐτόματα δ' αὐταῖς δεσμὰ διελύθη ποδῶν
κλῆδές τ' ἀνῆκαν θύρετρ' ἄνευ θνητῆς χερός.
Πολλῶν δ' ὅδ' ἀνὴρ θαυμάτων ἥκει πλέως
450 ἐς τάσδε Θήβας. Σοὶ δέ τἄλλα χρὴ μέλειν[11].
ΠΕΝΘΕΥΣ. Μέθεσθε χειρῶν τοῦδ'[12] ἐν ἄρκυσιν[13] γὰρ ὢν
οὐκ ἔστιν οὕτως ὠκὺς ὥστε μ' ἐκφυγεῖν.

---

[1] El extranjero (Dioniso), cuya captura es comparada a una caza. — [2] *Acusativo adverbial.* — [3] *Súplase* (ἦν). — [4] Para que se las atasen. — [5] Responde al οὐκ ἄκων: el hecho de que Dioniso no se inmutara al ser aprisionado, prueba su mansedumbre. — [6] "Mi tarea". — [7] "Por encargo". — [8] Indica que se pasa a un tema diferente. — [9] *Súplase* (οὖσαι). — [10] *Seguramente, tierras incultas consagradas a los dioses.* — [11] El soldado, temeroso de haberse dejado arrastrar por su admiración hacia el extranjero, reconoce que la decisión depende de Penteo. — [12] Genitivo dependiente de χειρῶν. — [13] Metafórico. — [14] Li-

Ἀτὰρ τὸ μὲν σῶμ' οὐκ ἄμορφος εἶ, ξένε,
ὡς [14] ἐς γυναῖκας, ἐφ' ὅπερ ἐς Θήβας πάρει·
πλόκαμός τε γάρ σου ταναός, οὐ πάλης ὕπο [15],
γένυν παρ' αὐτὴν κεχυμένος, πόθου πλέως·
λευκὴν δὲ χροιὰν ἐκ παρασκευῆς ἔχεις,
οὐχ ἡλίου βολαῖσιν [16], ἀλλ' ὑπὸ σκιᾶς [17],
τὴν Ἀφροδίτην [18] καλλονῇ θηρώμενος [19].
Πρῶτον μὲν οὖν μοι λέξον ὅστις εἶ γένος.

ΔΙΟΝΥΣΟΣ. Οὐ κόμπος οὐδείς· ῥᾴδιον δ' εἰπεῖν τόδε.
Τὸν ἀνθεμώδη Τμῶλον [20] οἶσθά που κλύων.

ΠΕ. Οἶδ', ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.

ΔΙ. Ἐντεῦθέν εἰμι, Λυδία δέ μοι πατρίς.

ΠΕ. Πόθεν δὲ τελετὰς τάσδ' ἄγεις ἐς Ἑλλάδα;

ΔΙ. Διόνυσος αὐτός εἰσέβησ', ὁ τοῦ Διός.

ΠΕ. Ζεὺς δ' ἔστ' ἐκεῖ τις, ὃς νέους τίκτει θεούς [21];

ΔΙ. Οὔκ, ἀλλ' ὁ Σεμέλην ἐνθάδε ζεύξας γάμοις.

ΠΕ. Πότερα δὲ νύκτωρ σ' ἢ κατ' ὄμμ' ἠνάγκασεν [22];

ΔΙ. Ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.

ΠΕ. Τὰ δ' ὄργι' ἐστὶ [23] τίν' ἰδέαν ἔχοντά σοι;

ΔΙ. Ἄρρητ' ἀβακχεύτοισιν εἰδέναι [24] βροτῶν.

ΠΕ. Ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τίνα;

ΔΙ. Οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι.

ΠΕ. Εὖ τοῦτ' ἐκιβδήλευσας, ἵν' ἀκοῦσαι θέλω.

ΔΙ. Ἀσέβειαν ἀσκοῦντ' [25] ὄργι' ἐχθαίρει θεοῦ.

---

mitativo ("al menos para el gusto de las mujeres"). — [15] "No por efecto del pugilato" (los atletas solían dejarse corto el pelo). — [16] Explica ἐκ παρασκευῆς; οὐχ va con βολαῖσι, que es un instrumental; puede traducirse "por la falta de rayos". — [17] Hay que entender τῷ ὑπὸ σκιᾶς ζῆν. — [18] "El amor" (metonimia). — [19] Con valor de conato. — [20] Es un centro del culto dionisíaco. — [21] Irónico: Penteo no cree en esta paternidad divina; Dioniso contesta que es realmente el dios de la religión griega. — [22] "(A venir a Tebas)"; es otra ironía: Penteo cree que el extranjero ha venido por su propia lujuria (cf. v. 454). — [23] Construído perifrásticamente con ἔχοντα. — [24] Depende de ἄρρητα, construído como los adjetivos de capacidad y sus contrarios (cf. v. 474). — [25] Depende de ἐχθαίρει. — [26] Introduce la justificación de la

ΠΕ. Τὸν θεὸν ὁρᾶν γὰρ[26] φῄς σαφῶς, ποῖός τις ἦν;
ΔΙ. Ὁποῖος ἤθελ'· οὐκ ἐγὼ 'τασσον τόδε.
ΠΕ. Τοῦτ' αὖ παρωχέτευσας[27] εὖ κοὐδὲν[28] λέγων.
ΔΙ. Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.
ΠΕ. Ἦλθες δὲ πρῶτα δεῦρ' ἄγων τὸν δαίμονα;
ΔΙ. Πᾶς ἀναχορεύει βαρβάρων τάδ' ὄργια.
ΠΕ. Φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολύ.
ΔΙ. Τάδ'[29] εὖ γε μᾶλλον· οἱ νόμοι δὲ διάφοροι.
ΠΕ. Τὰ δ' ἱερὰ[30] νύκτωρ ἢ μεθ' ἡμέραν τελεῖς;
ΔΙ. Νύκτωρ τὰ πολλά· σεμνότητ' ἔχει σκότος.
ΠΕ. Τοῦτ' ἐς γυναῖκας δόλιόν ἐστι καὶ σαθρόν.
ΔΙ. Κἂν ἡμέρᾳ τό γ' αἰσχρὸν ἐξεύροι τις ἄν[31].
ΠΕ. Δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.
ΔΙ. Σὲ δ' ἀμαθίας γε κἀσεβοῦντ'[32] ἐς τὸν θεόν.
ΠΕ. Ὡς θρασὺς ὁ Βάκχος κοὐκ ἀγύμναστος λόγων[33].
ΔΙ. Εἴφ' ὅ τι παθεῖν δεῖ· τί με τὸ δεινὸν ἐργάσῃ;
ΠΕ. Πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.
ΔΙ. Ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ[34] δ' αὐτὸν τρέφω.
ΠΕ. Ἔπειτα θύρσον τόνδε παράδος ἐκ χεροῖν.
ΔΙ. Αὐτός μ' ἀφαιροῦ· τόνδε Διονύσου φορῶ.
ΠΕ. Εἱρκταῖσί τ' ἔνδον σῶμα σὸν φυλάξομεν.
ΔΙ. Λύσει μ' ὁ δαίμων αὐτός, ὅταν ἐγὼ θέλω.
ΠΕ. Ὅταν γε καλέσῃς αὐτὸν ἐν Βάκχαις σταθείς[35].
ΔΙ. Καὶ νῦν ἃ πάσχω πλησίον παρὼν ὁρᾷ.
ΠΕ. Καὶ ποῦ 'στιν; οὐ γάρ φανερὸς ὄμμασίν γ' ἐμοῖς.
ΔΙ. Παρ' ἐμοί[36]· σὺ δ' ἀσεβὴς αὐτὸς ὢν[37] οὐκ εἰσορᾷς.

---

pregunta que sigue. — [27] Comparación con el campesino que desvía un curso de agua. — [28] El καί es concesivo. — [29] Acusativo de relación; se refiere a los ὄργια. — [30] Sinónimo de ὄργια y τελεταί, usados antes. — [31] A la acusación de corrupción de Penteo, el extranjero echa en cara a éste su propia perversidad al no acoger el culto dionisíaco; es el momento en que Penteo prorrumpe en amenazas. — [32] Participio causal en acusativo (va con σέ), paralelo al genitivo causal ἀμαθίας. — [33] "En el arte de la palabra". — [34] Irónico: el dios es él mismo (*cf.* también vv. 500, 502). — [35] *Es decir, nunca.* — [36] *Con doble sentido:* "en mí" (que es el verdadero) y "junto a mí". — [37] Participio causal. —

ΠΕ. Λάζυσθε· καταφρονεῖ με καὶ Θήβας ὅδε.
ΔΙ. Αὐδῶ με μὴ δεῖν σωφρονῶν οὐ σώφροσιν.
ΠΕ. Ἐγὼ δὲ δεῖν γε, κυριώτερος σέθεν.
ΔΙ. Οὐκ οἶσθ' ὅ τι ζῇς [38], οὐδ' ὃ δρᾷς, οὐδ' ὅστις εἶ.
ΠΕ. Πενθεύς, Ἀγαύης παῖς, πατρὸς δ' Ἐχίονος.
ΔΙ. Ἐνδυστυχῆσαι τοὔνομ' [39] ἐπιτήδειος εἶ.
ΠΕ. Χώρει· καθείρξατ' αὐτὸν ἱππικαῖς πέλας
φάτναισιν [40], ὡς ἂν σκότιον εἰσορᾷ [41] κνέφας.
Ἐκεῖ χόρευε· τάσδε [42] δ' ἂς ἄγων πάρει
κακῶν συνεργοὺς ἢ διεμπολήσομεν
ἢ χεῖρα δούπου τοῦδε καὶ βύρσης κτύπου [43]
παύσας, ἐφ' ἱστοῖς δμωίδας [44] κεκτήσομαι.
ΔΙ. Στείχοιμ' ἄν [45]· ὅ τι γὰρ μὴ χρεών, οὔτοι χρεών
παθεῖν. Ἀτάρ τοι τῶνδ' ἄποιν' [46] ὑβρισμάτων
μέτεισι Διόνυσός σ', ὃν οὐκ εἶναι λέγεις·
ἡμᾶς γὰρ ἀδικῶν κεῖνον εἰς δεσμοὺς ἄγεις [47].

[38] "Cuál es tu vida" (ὅ τι, acusativo interno), es decir, tu comportamiento; Penteo obra con ὕβρις sin darse cuenta de que es sólo un hombre. — [39] Acusativo de relación; alude a πένθος como etimología de Penteo. — [40] La prosa diría ἐν ταῖς πέλας ἱππικαῖς φάτναις. — [41] Subjuntivo con ἄν en una final indicando eventualidad: "para que pueda ver...". — [42] Las bacantes del coro. — [43] No hace más que aclarar el δούπου τοῦδε precedente (hendíadis); se refiere al ruido de los timbales que tocan las bacantes. — [44] Adjetivo predicativo, referido a τάσδε. — [45] Potencial por indicativo. — [46] Aposición a la oración de μέτεισι. — [47] Con doble sentido.

TUCIDIDES

Tucídides nació en Atenas, de familia aristocrática, pocos años antes del 454; probablemente estaba emparentado con Milcíades y con Tucídides, el hijo de Melesias. Siguiendo la tradición de la aristocracia griega, intervino pronto en la política de su ciudad natal. En el año 424, siete después de comenzar la guerra del Peloponeso, le encontramos como general ateniense al frente de una flota estacionada en Tasos; como no llegó a tiempo para salvar la ciudad de Anfípolis ante el ataque por sorpresa del espartano Brásidas, fue desterrado de Atenas, adonde no pudo volver hasta acabada la guerra, el año 404. Su muerte no debió de tardar. El destierro de Tucídides le hizo posible conocer la guerra desde los dos lados y recoger datos valiosos para escribir la historia de la misma.

Tucídides representa un cambio radical respecto a Heródoto: a la concepción de la historia como relato de hechos gloriosos y de catástrofes provocadas por la intervención de la divinidad para castigar al culpable, más una serie de anécdotas personales y de datos etnográficos, curiosidades, etc., sucede esta otra en que lo que interesa es la descripción y explicación de los sucesos contemporáneos por factores puramente humanos. En la psicología humana, individual y colectiva, busca Tucídides las leyes de la Historia, y así su obra se convierte en un κτῆμα ἐς ἀεί, adquisición para siempre. Para este nuevo punto de vista, reflejado sobre

todo en los discursos incluídos en su *Historia*, Tucídides se apoya en el movimiento sofístico, que conoció en Atenas antes de su destierro y que trató por primera vez de mirar directamente a todo lo humano prescindiendo de la tradición religiosa de Grecia.

El influjo sofístico se manifiesta también en el estilo: frases cortas, paralelismos, antítesis, abuso de los abstractos, etc. Tucídides es el primer prosista ático importante, que lucha por crearse un instrumento expresivo basado en la subordinación, pero apoyado aún en los recursos aludidos, de lo que resulta cierto número de irregularidades de construcción, anacolutos, etc.

En cuanto a la composición, Tucídides intenta superar los procedimientos de Heródoto, de raigambre épica, que incluían toda clase de digresiones y excursos. Así llega a un sistema rígido, que distribuye cronológicamente el material; es decir, la narración de la guerra se hace por años y, dentro de éstos, por inviernos y veranos. La obra de Tucídides quedó incompleta, pues sólo llega a los acontecimientos del año 411, siete antes del final de la guerra; pero constituye el más alto ejemplo de lo alcanzado por los griegos en el campo de la Historia, que se convierte por primera vez en ciencia tanto por la exigencia de rigor crítico en el establecimiento de los hechos como por la búsqueda de leyes generales de los conflictos históricos.

Debate sobre Mitilene

(III 36-49)

Episodio de los años 428-427 a. J. C., muy ilustrativo de la virulencia de los conflictos internacionales e internos al comienzo de la guerra del Peloponeso y, también, del estilo y la manera de razonar de Tucídides. Mitilene, ciudad de Lesbos, ha hecho defección de la liga marítima encabezada por Atenas, pero, tras un asedio, ha debido someterse. La liga era prácticamente un imperio de Atenas, a la que pagaba tributo; y aunque Mitilene gozaba en ella de una situación ventajosa —tenía una flota y, en cambio, no era tributaria—, prefirió independizarse uniéndose al bando espartano, que predicaba la "liberación de los griegos". En realidad son los nobles los que, como en todas partes, actuaron en este sentido; el partido democrático, cuando le fue posible, impuso la paz con Atenas. Pero, una vez sometida la ciudad, los atenienses, en su ira, decretaron la muerte de todos los mitileneos; sin embargo, luego se arrepintieron y convocaron una nueva reunión de la asamblea, que es la que se recoge en nuestro fragmento. En ella Cleón, jefe del ala radical del partido popular, el más importante de Atenas, defendió la condena a muerte de los mitileneos como escarmiento y acusó de corrupción a los adversarios de su política, mientras que, en nombre de éstos, Diódoto defendía una postura más moderada como ventajosa para los intereses áticos. Fue su opinión la que se impuso.

Es característico de Tucídides, y de toda la literatura influída por la sofística, el paralelismo estricto de los dos discursos, así como las constantes antítesis, correspondencias de miembros, abundante manejo de las expresiones abstractas, etc. Es notable que en la contestación de Diódoto la argumentación no esté basada en la justicia, sino sólo en τὸ ξυμφέρον, lo conveniente para Atenas. Todo esto es influencia del pensamiento sofístico. En cuanto a la fina per-

cepción por el historiador de la psicología de sus personajes y la psicología humana en general, obsérvese la pintura que hace de la oratoria demagógica de Cleón y, en el discurso de Diódoto, las consideraciones sobre la reacción de los hombres ante ideales humanos como el de la libertad, pese a los castigos propuestos. Nótese también el desapasionamiento y clarividencia con que está visto todo el proceso histórico del conflicto, presentado como ejemplar y típico.

36 Ἀφικομένων δὲ τῶν ἀνδρῶν[1] καὶ τοῦ Σαλαίθου[2] οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ[3] παρεχόμενον[4] τά τ' ἄλλα καὶ[5] ἀπὸ Πλαταιῶν (ἔτι γὰρ ἐπολιορκοῦντο) ἀπάξειν Πελο-
2 ποννησίους· περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο[6] καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μυτιληναίους ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν[7] ὅτι οὐκ ἀρχόμενοι ὥσπερ οἱ ἄλλοι[8] ἐποιήσαντο, καὶ προσξυνελάβοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδό-
3 κουν τὴν ἀπόστασιν ποιήσασθαι. Πέμπουσιν οὖν τριήρη ὡς Πάχητα[9] ἄγγελον τῶν δεδογμένων, κατὰ τάχος κελεύοντες δια-
4 χρήσασθαι Μυτιληναίους· καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς καὶ ἀναλογισμὸς ὡμὸν τὸ βούλευμα[10] καὶ μέγα ἐγνῶσθαι,
5 πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ[11] τοὺς αἰτίους. Ὡς δ' ἤσθοντο τοῦτο τῶν Μυτιληναίων οἱ παρόντες πρέσβεις καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι[12]. Καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις

---

[1] Los responsables de la sublevación de Mitilene, que habían sido enviados prisioneros a Atenas. — [2] Saleto, enviado lacedemonio que alentó a los mitileneos en su resistencia. — [3] Como lat. *sunt quae:* "algunas cosas". — [4] En el sentido de "ofrecer". — [5] "Otras cosas y también", "entre otras cosas". — [6] Aquí γνώμας ἐποιοῦντο es "deliberaron". — [7] Prolepsis; ἄλλην equivale a "por lo demás". — [8] Los mitileneos tenían un régimen especial dentro de la liga marítima, lo que hacía que no fueran propiamente vasallos. — [9] Paques, el general ateniense que había ocupado Mitilene y enviado a Atenas para su castigo a los más culpables. — [10] De esto es aposición πόλιν... αἰτίους. — [11] Expletivo tras μᾶλλον ἤ. — [12] Igual que arriba γνώμας ποιεῖσθαι: "exponer" las

ἔνδηλον ἦν[13] βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθίς τινας[14] σφίσιν ἀποδοῦναι[15] βουλεύσασθαι. Καταστάσης δ' εὐθὺς ἐκκλη- 6
σίας ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο καὶ Κλέων ὁ Κλε-
αινέτου, ὅσπερ καὶ τὴν προτέραν[16] ἐνενικήκει ὥστε ἀποκτεῖναι,
ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν τῷ τε δήμῳ παρὰ πολὺ
ἐν τῷ τότε πιθανώτατος, παρελθὼν[17] αὖθις ἔλεγε τοιάδε·

«Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν[18] 37
ὅτι ἀδύνατόν[19] ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ νῦν ὑμετέρᾳ
περὶ Μυτιληναίων μεταμελείᾳ. Διὰ γὰρ τὸ καθ' ἡμέραν ἀδεὲς[20] 2
καὶ ἀνεπιβούλευτον[20] πρὸς ἀλλήλους καὶ[21] ἐς τοὺς ξυμμάχους
τὸ αὐτὸ[22] ἔχετε, καὶ ὅ τι[23] ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρ-
τητε ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ
ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι, οὐ σκοποῦντες ὅτι
τυραννίδα[24] ἔχετε τὴν ἀρχὴν[25] καὶ πρὸς[26] ἐπιβουλεύοντας αὐτοὺς
καὶ ἄκοντας ἀρχομένους, ⟨οἳ⟩ οὐκ ἐξ ὧν[27] ἂν χαρίζησθε βλαπτό-
μενοι[28] αὐτοὶ ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχύι μᾶλλον ἢ τῇ
ἐκείνων εὐνοίᾳ περιγένησθε[29]. Πάντων δὲ δεινότατον[30] εἰ βέ- 3
βαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι[31], μηδὲ γνωσόμεθα
ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν ἢ[32]
καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτε-
ρον[33] ἢ δεξιότης μετὰ ἀκολασίας, οἵ τε φαυλότεροι τῶν ἀνθρώ-
πων πρὸς[34] τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλέον[35] ἄμεινον οἰκοῦσι
τὰς πόλεις. Οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαί- 4

---

opiniones de cada uno. — [13] Su sujeto es τὸ πλέον τῶν πολιτῶν (construcción personal). — [14] "Se". — [15] "Dar de nuevo oportunidad". — [16] Súplase (γνώμην). — [17] Vocablo usual para designar la subida a la tribuna del orador. — [18] Prolepsis. — [19] Neutro por su valor general. — [20] Adjetivos neutros equivaliendo a abstractos. — [21] "También". — [22] A saber, τὸ ἀδεὲς κτλ. — [23] Se refiere a un τοῦτο implícito sujeto de μαλακίζεσθαι, que depende, a su vez, de ἡγεῖσθε. — [24] Predicativo: "como una tiranía". — [25] "El imperio", a saber, los miembros de la liga marítima, en la práctica súbditos de Atenas. — [26] "Sobre". — [27] "Por causa de lo que..." (atracción equivalente a ἐκ τούτων ἃ). — [28] "Para vuestro propio daño". — [29] "Aquellos casos en que los venzáis". — [30] Súplase (ἐστι). — [31] Anástrofe (entiéndase περὶ τούτων ἅ). — [32] Súplase (πόλις χρωμένη). — [33] Cf. nota 19. — [34] Indica comparación. — [35] Aquí ὡς

νεσθαι τῶν τε αἰεὶ [36] λεγομένων ἐς τὸ κοινὸν [37] περιγίγνεσθαι, ὡς [38] ἐν ἄλλοις μείζοσιν οὐκ ἂν [39] δηλώσαντες τὴν γνώμην [40], καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις· οἱ δ' ἀπιστοῦντες τῇ ἐξ αὐτῶν [41] ξυνέσει ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι [42] δὲ ‹τὸν› τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου [43] μᾶλλον ἢ ἀγωνισταὶ ὀρθοῦνται τὰ πλείω. Ὡς [44] οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας μὴ δεινότητι [45] καὶ ξυνέσεως ἀγῶνι [46] ἐπαιρομένους παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει [47] παραινεῖν. Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ καὶ θαυμάζω [48] μὲν τῶν προθέντων αὖθις περὶ Μυτιληναίων λέγειν καὶ χρόνου διατριβὴν ἐμποιησάντων, ὅ ἐστι πρὸς [49] τῶν ἠδικηκότων μᾶλλον|(ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται [50], ἀμύνεσθαι [51] δὲ τῷ παθεῖν ὅ τι ἐγγυτάτω κείμενον ἀντίπαλον μάλιστα τὴν τιμωρίαν [52] ἂν λαμβάνοι), θαυμάζω δὲ καὶ ὅστις ἔσται ὁ ἀντερῶν καὶ ἀξιώσων ἀποφαίνειν τὰς μὲν Μυτιληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισταμένας. Καὶ δῆλον ὅτι ἢ τῷ λέγειν [53] πιστεύσας τὸ πάνυ δοκοῦν [54] ἀνταποφῆναι ὡς οὐκ ἔγνωσται [55] ἀγωνίσαιτ' ἄν, ἢ κέρδει ἐπαιρόμενος [56] τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας παράγειν πειράσεται. Ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις [57] δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. Αἴτιοι δ'

ἐπὶ τὸ πλέον es "generamente". — [36] "En cada ocasión". — [37] "En público". — [38] Da matiz subjetivo: "como", "en la idea de que". — [39] Da matiz potencial al participio. — [40] "Su inteligencia". — [41] Equivale ἐξ αὐτῶν a αὐτῶν ο ἑαυτῶν. — [42] Rige infinitivo, como los adjetivos de capacidad: "demasiado... para...". — [43] "Desde una situación de inferioridad". — [44] Equivalente a οὕτως, raro en prosa. — [45] "Por la capacidad oratoria". — [46] "Por la exhibición o competición de talento". — [47] El pueblo. — [48] Rige genitivo. — [49] "A favor de". — [50] A saber, cuando hay un aplazamiento. — [51] Lleva un participio condicional κείμενον y es el sujeto de ἂν λαμβάνοι; se esperaría τὸ ἀμύνεσθαι. — [52] A saber, la sublevación de los aliados. — [53] "En su capacidad oratoria". — [54] Había ya un acuerdo para dar muerte a los mitileneos. — [55] Es decir, que el acuerdo no era cosa resuelta o válida. — [56] Insinúa malignamente que el que hable así está comprado por los mitileneos. — [57] A esos oradores. —

ὑμεῖς[58] κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μέν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δέ τῶν ἔργων, τὰ μέν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα[59] ἤδη, ἵνα καὶ τὸ δρασθὲν πιστότερον ὄψει λαβόντες[60] ἢ τὸ ἀκουσθέν,) ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι[61], μετὰ δεδοκιμασμένου δέ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι ὄντες τῶν αἰεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων, καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος[62] δύνασθαι, εἰ δὲ μή, ἀνταγωνιζόμενοι[63] τοῖς τοιαῦτα[64] λέγουσι μὴ ὕστεροι ἀκολουθῆσαι[65] δοκεῖν τῇ γνώμῃ[66], ὀξέως δέ τι λέγοντος[67] προεπαινέσαι[68], καὶ προαισθέσθαι τε πρόθυμοι[69] τὰ λεγόμενα καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα, ζητοῦντές τε ἄλλο τι ὡς εἰπεῖν[70] ἢ ἐν οἷς ζῶμεν[71], φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον ἢ περὶ πόλεως βουλευομένοις.

»Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς ἀποφαίνω Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν[72] ἠδικηκότας ὑμᾶς. Ἐγὼ γάρ, οἵτινες[73] μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν ἢ οἵτινες[73] ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον

39 2

---

[58] En vez de examinar los hechos, los atenienses contemplan la pugna oratoria como unos juegos organizados por ellos mismos (cf. ἀγωνοθετοῦντες). — [59] Súplase (σκοποῦντες); οὐ... ἀκουσθέν es un paréntesis. — [60] En πιστότερον... λαβόντες vemos una perífrasis por πιστεύσαντες μᾶλλον. — [61] Tanto ἄριστοι como los demás plurales son predicativos con respecto al ὑμεῖς precedente: "siendo...": de ἄριστοι dependen los infinitivos ἀπατᾶσθαι y μή... ἐθέλειν. — [62] Lleva un infinitivo δύνασθαι, del que a su vez depende εἰπεῖν. — [63] Rige dativo e infinitivo ("rivalizando con... para no..."). — [64] Es decir, ἄτοπα. — [65] El sujeto es δοκεῖν. — [66] "Con su inteligencia". — [67] Genitivo absoluto (el sujeto implícito es el orador amigo de novedades). — [68] Depende aún de ἀνταγωνισάμενος; se trata de alabarle antes que los demás. — [69] Construído con infinitivo igual que el βραδεῖς que sigue. — [70] "Por así decirlo". — [71] "Que (este mundo) en que vivimos". — [72] Predicativo respecto a Μυτιληναίους y referido a μάλιστα: "los que más... como una ciudad", "la ciudad que más". — [73] Falta el antecedente, que sería un τούτων

δὲ οἵτινες[74] ἔχοντες μετὰ τειχῶν καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ[75] καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφαρκτοι[76] ἦσαν πρὸς αὐτούς, αὐτόνομοί τε οἰκοῦντες καὶ τιμώμενοι ἐς τὰ πρῶτα[77] ὑπὸ ἡμῶν τοιαῦτα ἠργάσαντο, τί ἄλλο οὗτοι[78] ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν (ἀπόστασις μέν γε τῶν βίαιόν τι πασχόντων ἐστίν)[79], ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων[80] ἡμᾶς στάντες διαφθεῖραι; Καίτοι δεινότερόν ἐστιν ἢ εἰ καθ' αὐτοὺς δύναμιν κτώ-
3 μενοι ἀντεπολέμησαν. Παράδειγμα[81] δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον[82] μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον[83] θρασεῖς καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως[84], πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου[85] προθεῖναι· ἐν ᾧ[86] γὰρ
4 ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. Εἴωθε δὲ τῶν πόλεων αἷς[87] ἂν μάλιστα ἀπροσδόκητος καὶ δι' ἐλαχίστου[88] εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ πολλὰ[89] κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα[90] ἀσφαλέστερα ἢ παρὰ δόξαν[91], καὶ κακοπραγίαν ὡς εἰπεῖν[92] ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασῴζονται.
5 Χρὴν[93] δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφερόντως τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρισαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος[94] τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ
6 ὑπεῖκον θαυμάζειν. Κολασθέντων δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας,

---

dependiente de συγγνώμην. — [74] Sujetos de ἠργάσαντο. — [75] "En tanto que". — [76] Litotes; los mitileneos conservaban su flota y no estaban sometidos a tributo. — [77] Lat. *in primis*. — [78] Elipsis de ἐποίησαν. — [79] "Es (cosa) de..." Explica el significado de ἀπόστασις y ἀφίστημι para diferenciarlo de ἐπανίστημι. — [80] A saber, los espartanos. — [81] "Escarmiento". — [82] Sustantivo que rige infinitivo y está construído como el que depende de un verbo de temor. — [83] "Para el futuro". — [84] Sus deseos son todavía mayores que sus esperanzas, superiores aún a su fuerza. — [85] Neutro. — [86] "Cuando". — [87] Súplase (ἐκείναις), complemento directo de τρέπειν. — [88] "Rápidamente". — [89] Adverbial: "las más de las veces". — [90] Sujeto de (ἐστίν): "los éxitos". — [91] Súplase (εὐτυχοῦντα); se opone a κατὰ λόγον. — [92] "Por así decirlo". — [93] Irreal de pasado. — [94] Construcción personal. — [95] "A los oligarcas (o nobles)", que

καὶ μὴ τοῖς μὲν ὀλίγοις [95] ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. Πάντες γὰρ ὑμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ' ἐξῆν ὡς [96] ἡμᾶς τραπομένοις [97] νῦν πάλιν ἐν τῇ πόλει εἶναι· ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον ξυναπέστησαν. Τῶν τε 7
ξυμμάχων [98] σκέψασθε [99] εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὄντινα [100] οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν ᾖ κατορθώσαντι ἐλευθέρωσις ᾗ ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον [101]; Ἡμῖν δὲ πρὸς [102] ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά 8
τε χρήματα καὶ αἱ ψυχαί [103]· καὶ τυχόντες [104] μὲν πόλιν ἐφθαρμένην παραλαβόντες τῆς ἐπετείας προσόδου [105], δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε, σφαλέντες δὲ πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν, καὶ ὃν χρόνον [106] τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς [107] ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν. Οὔκουν δεῖ 40
προσθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν [108] οὔτε χρήμασιν ὠνητήν [109], ὡς ξυγγνῶμην [110] ἁμαρτεῖν ἀνθρωπίνως [111] λήψονται. Ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. Ἐγὼ μὲν οὖν καὶ τότε [112] πρῶτον καὶ νῦν διαμάχο- 2
μαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις [113] τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν. Ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδί- 3

---

eran en todas partes favorables a Esparta. — [96] Preposición. — [97] "Habiéndose vuelto, si se hubieran vuelto". — [98] Partitivo dependiente de los participios sustantivados que siguen. — [99] Introduce la interrogativa indirecta, apódosis correspondiente a la condicional; la construcción es, pues, εἰ ... προσθήσετε ... σκέψασθε τίνα ... — [100] Expletivo; hay mezcla de dos construcciones: τίνα οἴεσθε οὐκ ἀποστήσεσθαι y τίνα οἴεσθε εἶναι ὅστις οὐκ ἀποστήσεται (ὄντινα queda atraído al caso del antecedente y por eso se mantiene el infinitivo). — [101] Es sujeto μηδὲν παθεῖν ἀνήκεστον de un segundo ᾗ que hay que suplir ("resulte"); es, por tanto, paralelo a ἐλευθέρωσις. — [102] "Contra". — [103] "Las vidas". — [104] Participio condicional. — [105] El tributo anual de la ciudad en cuestión. — [106] Acusativo de tiempo; falta el antecedente (por τὸν χρόνον ἐν ᾧ). — [107] Los lacedemonios y sus aliados. — [108] "Creída o apoyada por la razón o verosimilitud". — [109] Alusión a la supuesta corrupción de los rivales de Cleón. — [110] Lleva infinitivo: "perdón por..." — [111] Se refiere a ἁμαρτεῖν. — [112] Cuando la primera deliberación sobre la suerte de los mitileneos. — [113] Ins-

δοσθαι [114] καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας ἐξ ἀνάγκης τε καθεστῶτας αἰεὶ πολεμίους· οἵ τε τέρποντες λόγῳ ἔξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν [115] ἀγῶνα, καὶ μὴ ἐν ᾧ [116] ἡ μὲν πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ [117] ἀντιλήψονται· καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους [118] καὶ τὸ λοιπὸν ἔσεσθαι μᾶλλον δίδοται ἢ πρὸς τοὺς
4 ὁμοίως τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. Ἔν τε ξυνελῶν [119] λέγω· πιθόμενοι μὲν ἐμοὶ τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε, ἄλλως δὲ γνόντες [120] τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. Εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε [121]. Εἰ δὲ δὴ καὶ οὐ προσῆκον [122] ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκὸς [123] τοι καὶ τούσδε ξυμφόρως δεῖ κλάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς καὶ ἐκ τοῦ
5 ἀκινδύνου [124] ἀνδραγαθίζεσθαι [125]. Τῇ τε αὐτῇ ζημίᾳ [126] ἀξιώσατε ἀμύνασθαι καὶ μὴ ἀναλγητότεροι [127] οἱ διαφυγόντες τῶν ἐπιβουλευσάντων φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν [128] αὐτοὺς ποιῆσαι κρατήσαντας [129] ὑμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας [130].
6 Μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει [131] τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται καὶ δισλλύναι [132], τὸν κίνδυνον ὑφορῶμενοι τοῦ ὑπολειπομένου [133] ἐχθροῦ [134]· ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ [135] τι παθὼν χαλεπώτερος διαφυγὼν [136] τοῦ ἀπὸ τῆς ἴσης [137] ἐχθροῦ.

---

trumental interno de ἁμαρτάνειν ("errar con tres errores"). — [114] Construcción personal. — [115] Neutro: "de menos importancia". — [116] Falta el antecedente: "en una ocasión en que..." — [117] Nueva alusión venenosa. — [118] "Amigos". — [119] "Resumiendo". — [120] A saber, atendiendo a los enemigos de Cleón (y, supuestamente, de Atenas). — [121] Equivale a un indicativo atenuado. — [122] Acusativo absoluto con valor concesivo. — [123] "Según es razonable". — [124] "Desde una situación sin peligro". — [125] Irónico. — [126] A saber, el mismo castigo que, de vencer, os habrían impuesto. — [127] "Insensibles a la injuria". — [128] Irreal de presente. — [129] Participio condicional (equivale a una irreal de pasado). — [130] Genitivo dependiente del verbo precedente. — [131] Es decir, sin motivo. — [132] Infinitivo dependiente del verbo precedente (tradúzcase como consecutivo). — [133] "Dejado vivo". — [134] Genitivo explicativo. — [135] "Sin necesidad". — [136] Participio condicional. — [137] "En una situación de igualdad", "con igual responsabilidad". —

»Μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν, γενόμενοι δ' ὅ τι ἐγγύ- 7
τατα τῇ γνώμῃ τοῦ πάσχειν [138] καὶ ὡς [139] πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε [140] μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα [141] μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. Κολάσατε δὲ ἀξίως τούτους τε καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε [142], ὃς ἂν ἀφίστηται, θανάτῳ ζημιωσόμενον [143]. Τόδε γὰρ ἦν γνῶσιν, ἧσσον τῶν πολεμίων ἀμελήσαντες τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις».

Τοιαῦτα μὲν ὁ Κλέων εἶπεν. Μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκρά- 41
τους, ὅσπερ καὶ [144] ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε [145] μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ τότε ἔλεγε τοιάδε·

«Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ Μυτιλη- 42
ναίων αἰτιῶμαι οὔτε τοὺς μεμφομένους μὴ [146] πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ, νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν, ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ [147] γίγνεσθαι, τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης. Τούς τε λόγους [148] δοτις διαμάχεται μὴ διδασκάλους τῶν πρα- 2
γμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει [149]· ἀξύνετος μέν, εἰ ἄλλῳ τινὶ [150] ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι, διαφέρει δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι εὖ μὲν εἰπεῖν οὐκ ἂν [151] ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν [152] ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦν-

---

[138] Genitivo dependiente de ἐγγύτατα; Cleón pide a los atenienses que se pongan en el estado de ánimo que tendrían de haber triunfado los mitileneos. — [139] Depende de un verbo de pensamiento (διανοηθέντες, por ejemplo), abstraído de lo anterior. — [140] "Responded". — [141] La desgracia de los mitileneos. — [142] Súplase (αὐτούς). — [143] Construído como participio predicativo de un verbo que se abstrae de παράδειγμα καταστήσατε; es decir, es como si se dijera δηλοῦτε ἐκεῖνον ζημιωσόμενον. — [144] No es expletivo. — [145] "Sostuvo por el contrario". — [146] Expletivo (por el valor negativo de μεμφομένους). — [147] "Suele". — [148] Sujeto de γίγνεσθαι. — [149] "Le importa", es decir, tiene en ello un interés particular. — [150] Instrumental: "mediante algún otro procedimiento". — [151] Da valor potencial al infinitivo δύνασθαι, dependiente de ἡγεῖται y que rige a εἰπεῖν; de nuevo hallamos a continuación otro ἄν con un infinitivo potencial ἐκπλῆξαι dependiente igualmente de ἡγεῖται. — [152] Alude

3 τας καὶ τοὺς ἀκουσομένους. Χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι[153] προκατηγοροῦντες ἐπίδειξίν τινα. Εἰ μὲν γὰρ ἀμαθίαν κατηγοροῦντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος ἀπεχώρει[154]· ἀδικίας δ' ἐπιφερομένης πείσας[155] τε ὕποπτος γίγνεται
4 καὶ μὴ τυχὼν μετὰ ἀξυνεσίας καὶ[156] ἄδικος. Ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων. Καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν[157] ἔχουσα τοὺς τοιούτους[158] τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πεισθεὶη ξυναμαρτάνειν[159].
5 Χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι[160] ἄμεινον λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμήν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης, καὶ τὸν μὴ τυχόντα γνώμης[161]
6 οὐχ ὅπως[162] ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. Οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ[163] τῷ ἔτι μειζόνων ἀξιοῦσθαι παρὰ γνώμην[164] τι καὶ πρὸς χάριν[165] λέγοι, ὅ τε μὴ ἐπιτυχὼν ὀρέγοιτο τῷ
43 αὐτῷ[166], χαριζόμενός τι καὶ αὐτός, προσάγεσθαι τὸ πλῆθος. Ὧν ἡμεῖς τἀναντία δρῶμεν, καὶ προσέτι, ἢν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα, τὰ βέλτιστα δὲ ὅμως λέγειν, φθονήσαντες[167] τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν τὴν φανερὰν ὠφελίαν τῆς πό-
2 λεως ἀφαιρούμεθα. Καθέστηκε[168] δὲ τἀγαθὰ ἀπὸ τοῦ εὐθέος[169] λεγόμενα μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν, ὥστε δεῖν[170] ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι ἀπάτῃ προσάγε-

---

a las insinuaciones malévolas de Cleón. — [153] Igual a ὡς ἐπὶ χρήμασι γιγνομένην. — [154] "Marcharía (de la asamblea)". — [155] Participio condicional, igual que μὴ τυχών. — [156] "También". — [157] Regido por el adjetivo precedente. — [158] Es decir, a los que proceden de ese modo. — [159] Súplase (αὐτοῖς). — [160] Sujeto de χρή; a su vez lleva por sujeto τὸν ... ἀγαθὸν πολίτην, cuyo predicado es el participio λέγοντα, que lleva dos determinaciones circunstanciales: μὴ ἐκφοβοῦντα (participio de modo) y ἀπὸ τοῦ ἴσου. — [161] "Que no logra la aceptación". — [162] "No (digo) que". — [163] "Por". — [164] "Contra su opinión". — [165] Súplase (τοῦ δήμου). — [166] Instrumental significando "por igual procedimiento" (explicado por la epexegesis χαριζόμενος κτλ.). — [167] Rige genitivo. — [168] Con εἶναι: "han llegado a ser", "son"; construcción personal. — [169] Equivale ἀπὸ τοῦ εὐθέος a εὐθέως. — [170] Su sujeto son los dos infinitivos προσάγεσθαι y γενέσθαι; al sujeto de éstos se refiere βουλόμενον, que a su

σθαι τὸ πλῆθος καὶ τὸν τὰ ἀμείνω λέγοντα ψευσάμενον πιστὸν γενέσθαι [171]. Μόνην τε πόλιν [172] διὰ τὰς περινοίας εὖ ποιῆσαι ἐκ 3
τοῦ προφανοῦς [173] μὴ ἐξαπατήσαντα [174] ἀδύνατον· ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν ἀνθυποπτεύεται ἀφανῶς πῃ πλέον ἕξειν. Χρὴ 4
δὲ πρὸς τὰ μέγιστα [175] καὶ ἐν τῷ τοιῷδε [176] ἀξιοῦν τι ἡμᾶς [177] περαιτέρω προνοοῦντας λέγειν ὑμῶν [178] τῶν δι' ὀλίγου σκοπούντων, ἄλλως τε καὶ ὑπεύθυνον [179] τὴν παραίνεσιν ἔχοντας [180] πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. Εἰ γὰρ ὅ τε πείσας καὶ ὁ ἐπισπό- 5
μενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ πρὸς ὀργὴν [181] ἥντιν' ἂν τύχητε [182] ἔστιν ὅτε [183] σφαλέντες τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, αἳ πολλαὶ οὖσαι ξυνεξήμαρτον.

»Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν ὑπὲρ Μυτιληναίων οὔτε 44
κατηγορήσων. Οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν [184], εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας. Ἥν τε γὰρ 2
ἀποφήνω πάνυ ἀδικοῦντας αὐτούς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον, ἤν τε καὶ ἔχοντάς τι ξυγγνώμης, ἐᾶν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. Νομίζω δὲ περὶ τοῦ μέλλοντος [185] 3
ἡμᾶς μᾶλλον βουλεύεσθαι ἢ τοῦ παρόντος. Καὶ τοῦτο ὃ μάλιστα Κλέων ἰσχυρίζεται, ἐς τὸ λοιπὸν ξυμφέρον [186] ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι [187] θάνατον [188] ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ

---

vez lleva un infinitivo πεῖσαι. — [171] Sujeto τόν ... λέγοντα, que lleva un predicado πιστόν. — [172] Predicativo, referido a un ἡμᾶς elíptico: "somos la única ciudad a la que..." — [173] Aquí ἐκ τοῦ προφανοῦς equivale a προφανῶς. — [174] Participio modal: "sin engañarla"; se refiere a un sujeto (τινά) de ποιῆσαι que se deduce del carácter impersonal de la principal ἀδύνατον (ἐστί). — [175] "En relación con los asuntos más importantes". — [176] "Incluso en una situación como ésta". — [177] Son los oradores, los políticos (sujeto de λέγειν; lleva un participio modal προνοοῦντας). — [178] Genitivo comparativo. — [179] El orador podía ser perseguido legalmente si su propuesta era contraria a las leyes. — [180] Referido a ἡμᾶς. — [181] "Según el estado de ánimo"; se refiere a ζημιοῦτε. — [182] No se repite la preposición πρός; entiéndase (πρὸς) ἥντιν' ἂν τύχητε (ζημιοῦντες). — [183] "Hay cuando", "a veces". — [184] Súplase (ἐστίν). — [185] "El futuro". — [186] Súplase (ἡμῖν). Es dativo *commodi* (en construcción regular se esperaría προθεῖναι). — [187] Súplase (τοὺς συμμάχους). — [188] Pre-

τοῦ ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος τάναντία γι-
4 γνώσκω. Καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου [189] λόγου τὸ
χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. Δικαιότερος γὰρ ὢν αὐτοῦ ὁ λό-
γος πρὸς [190] τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μυτιληναίους τάχ' ἂν
ἐπισπάσαιτο· ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτούς, ὥστε τῶν δι-
καίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν, ὅπως χρησίμως
45 ἕξουσιν. Ἐν οὖν ταῖς πόλεσι πολλῶν [191] θανάτου ζημίαι πρόκεινται
καὶ οὐκ ἴσων [191] τῷδε, ἀλλ' ἐλασσόνων ἁμαρτημάτων· ὅμως δὲ τῇ
ἐλπίδι ἐπαιρόμενοι [192] κινδυνεύουσι, καὶ οὐδείς πω καταγνοὺς
ἑαυτοῦ [193] μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι [194] ἦλθεν ἐς τὸ δεινόν [195].
2 Πόλις τε ἀφισταμένη τίς πω ἧσσω [196] τῇ δοκήσει [197] ἔχουσα τὴν
παρασκευήν, ἢ οἰκείαν ἢ ἄλλων ξυμμαχίᾳ τούτῳ [198] ἐπεχείρησε;
3 Πεφύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, καὶ οὐκ
ἔστι νόμος ὅστις ἀπείρξει τούτου, ἐπεὶ διεξεληλύθασί γε διὰ πα-
σῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προτιθέντες, εἴ [199] πως ἧσσον ἀδι-
κοῖντο ὑπὸ τῶν κακούργων. Καὶ εἰκὸς [200] τὸ πάλαι [201] τῶν μεγίστων
ἀδικημάτων μαλακωτέρας κεῖσθαι αὐτάς, παραβαινομένων [202] δὲ
τῷ χρόνῳ ἐς τὸν θάνατον αἱ πολλαὶ ἀνήκουσιν· καὶ ταῦτα [203] ὅμως
4 παραβαίνεται. Ἦ τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν
ἢ τόδε γε οὐδὲν ἐπίσχει, ἀλλ' ἡ μὲν πενία ἀνάγκῃ [204] τὴν τόλμαν
παρέχουσα, ἡ δ' ἐξουσία ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι,
αἱ δ' ἄλλαι ξυντυχίαι [205] ὀργὴν τῶν ἀνθρώπων, ὡς ἑκάστη τις κα-
τέχεται ὑπ' ἀνηκέστου [206] τινὸς κρείσσονος, ἐξάγουσιν ἐς τοὺς
5 κινδύνους. Ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντί, ὁ μὲν ἡγούμενος,

---

dicado de θάνατον, "como pena". — [189] De Cleón; es genitivo dependiente de λόγου, no concertado (en ese caso se diría ἐκείνου τοῦ λόγου). — [190] "En relación con". — [191] Va con ἁμαρτημάτων. — [192] Sujeto indeterminado: "algunos", "los criminales". — [193] Genitivo con verbo judicial. — [194] "Sobrevivir a su empresa". — [195] Es decir, el que comete un delito lo hace sin pensar en la probabilidad del castigo. — [196] "Demasiado pequeña". — [197] "A su juicio". — [198] Súplase (τῷ ἀφίστασθαι): depende de ἐπεχείρησε. — [199] "Por si". — [200] Súplase (ἐστί). — [201] Adverbial. — [202] Súplase (αὐτῶν). — [203] "Y aun así". — [204] Como ὕβρει y φρονήματι, es instrumental indicando causa; τόλμαν, πλεονεξίαν y ὀργήν son complementos directos de παρέχουσαι. — [205] "Circunstancias (de vida)". — [206] "Irremediable, invencible". — [207] "Además". — [208] "Hay

ἡ δ' ἐφεπομένη, καὶ ὁ μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζων, ἢ δὲ τὴν εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα πλεῖστα βλάπτουσι, καὶ ὄντα ἀφανῆ κρείσσω ἐστὶ τῶν ὁρωμένων δεινῶν. Καὶ[207] ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν 6
ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν· ἀδοκήτως γὰρ ἔστιν ὅτε[208] παρισταμένη καὶ ἐκ τῶν ὑποδεεστέρων[209] κινδυνεύειν τινὰ προάγει καὶ οὐχ ἧσσον[210] τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων[211] τε, ἐλευθερίας ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ πάντων[212] ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὐτὸν ἐδόξασεν[213]. Ἁπλῶς τε ἀδύνατον καὶ 7
πολλῆς εὐηθείας[214], ὅστις οἴεται, τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι, ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύι ἢ ἄλλῳ τῷ δεινῷ. Οὐκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ[215] ὡς 46
ἐχεγγύῳ πιστεύσαντας χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν ὡς οὐκ[216] ἔσται μεταγνῶναι καὶ ὅτι ἐν βραχυτάτῳ[217] τὴν ἁμαρτίαν καταλῦσαι. Σκέψασθε γὰρ ὅτι 2
νῦν μέν, ἢν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ περιεσομένη[218], ἔλθοι ἂν ἐς ξύμβασιν δυνατὴ οὖσα ἔτι τὴν δαπάνην[219] ἀποδοῦναι καὶ τὸ λοιπὸν ὑποτελεῖν· ἐκείνως[220] δὲ τίνα οἴεσθε ἥντινα[221] οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσεσθαι, πολιορκίᾳ δὲ παρατενεῖσθαι[222] ἐς τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται[223] σχολῇ καὶ ταχὺ ξυμβῆναι; Ἡμῖν 3
τε πῶς οὐ βλάβη[224] δαπανᾶν καθημένοις[225] διὰ τὸ ἀξύμβατον[226], καὶ ἣν ἕλωμεν, πόλιν ἐφθαρμένην παραλαβεῖν καὶ τῆς προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι; Ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε[227]. Ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρ- 4

---

cuando", "a veces". — [209] "Desde una situación de inferioridad". — [210] Lítotes: equivale a μάλιστα "tanto más". — [211] Súplase (κινδυνεύουσι). — [212] "En unión de todos", "cuando actúa junto a los demás ciudadanos". — [213] Aoristo gnómico. — [214] Equivalente a εἴωθες. — [215] Depende de πιστεύσαντας, participio concertado con el sujeto implícito (τινάς o ἡμᾶς) de βουλεύσασθαι. — [216] Expletivo tras un verbo de sentido negativo. — [217] "Lo más rápidamente posible". — [218] Participio predicativo dependiente de γνῷ. — [219] Los gastos que ha acarreado el someterla. — [220] Es decir, si se sigue la política de Cleón. — [221] Fenómeno ya explicado en nota 100. — [222] "Dejarse atormentar". — [223] "Significa". — [224] Súplase (ἐστίν). — [225] Figurado: se refiere a la permanencia exigida por el asedio. — [226] Es la imposibilidad de toda ξύμβασις o acuerdo. — [227] A saber,

τανόντων ἀκριβεῖς[228] βλάπτεσθαι ἢ ὁρᾶν ὅπως[229] ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες ταῖς πόλεσιν[230] ἕξομεν ἐς χρημάτων λόγον[231] ἰσχυούσαις χρῆσθαι, καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων[232] τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς
5 ἐπιμελείας. Οὗ νῦν τούναντίον δρῶντες, ἤν τινα[233] ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα χειρωσώμεθα,
6 χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. Χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ[234] ἀφισταμένους σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυλάσσειν[235] καὶ προκαταλαμβάνειν[235] ὅπως μηδ' ἐς ἐπίνοιαν τοῦτου ἴωσι, κρατήσαντάς[236] τε ὅ τι ἐπ' ἐλάχιστον τὴν αἰτίαν
47 ἐπιφέρειν. Ὑμεῖς δὲ σκέψασθε ὅσον[237] ἂν καὶ τοῦτο ἁμαρτάνοιτε
2 Κλέωνι πειθόμενοι. Νῦν μὲν γάρ ὑμῖν ὁ δῆμος[238] ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις ἤ, ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀποστήσασι πολέμιος εὐθύς, καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες ἐς πόλεμον
3 ἐπέρχεσθε. Εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν Μυτιληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν[239], ἐκὼν παρέδωκε τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων[240] ὃ βούλονται μάλιστα· ἀφιστάντες γὰρ τὰς πόλεις τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι προδειξάντων ὑμῶν[241] τὴν αὐτὴν ζημίαν τοῖς τε ἀδι-
4 κοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. Δεῖ δέ, καὶ εἰ ἠδίκησαν, μὴ προσποιεῖσθαι, ὅπως ὃ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι μὴ πολέμιον
5 γένηται. Καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι[242] ἢ δικαίως οὓς μὴ δεῖ δια-

---

τῷ προσόδῳ. — [228] Referido a δικαστάς. — [229] Con indicativo de futuro final. — [230] Referido a χρῆσθαι. — [231] "Cuestión", "respecto". — [232] Depende del genitivo siguiente, regido por ἀπό; igual construcción a continuación, en antítesis, si bien τῶν νόμων es genitivo subjetivo y τῶν ἔργων objetivo. — [233] Referido a χειρωσώμεθα. — [234] Referido a κολάζειν. — [235] Referido a χρή. — [236] Participio con valor temporal. — [237] Acusativo interno, como ὅσον (ἁμάρτημα). — [238] Tanto "pueblo" como "partido democrático"; como sinónimo se usa πλῆθος. — [239] Es decir, cuando los nobles se vieron forzados a armarlos pesadamente; en un comienzo servían como tropas ligeras. — [240] Sinónimo de τοῖς ὀλίγοις, "los oligarcas", "los nobles". — [241] Genitivo absoluto con valor

φθεῖραι· καὶ τὸ Κλέωνος [243] τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον τῆς τιμωρίας [244] οὐχ εὑρίσκεται ἐν αὐτῷ [245] δυνατὸν ὄν [246] ἅμα γίγνεσθαι.

»Ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι καὶ μήτε οἰκτῳ πλέον 48
νείμαντες μήτ' ἐπιεικείᾳ, οἷς οὐδὲ ἐγὼ [247] ἐῶ προσάγεσθαι, ἀπ'
αὐτῶν δὲ τῶν παραινουμένων πείθεσθέ μοι Μυτιληναίων οὓς μὲν
Πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας [248] κρῖναι καθ' ἡσυχίαν, τοὺς δ'
ἄλλους ἐᾶν οἰκεῖν [249]. Τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ καὶ [250] τοῖς 2
πολεμίοις ἤδη φοβερά [251]· ὅστις γὰρ εὖ βουλεύεται, πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν ἢ μετ' ἔργων ἰσχύος [252] ἀνοίᾳ ἐπιών».

Τοιαῦτα δὲ ὁ Διόδοτος εἶπεν. Ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων 49
μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας οἱ Ἀθηναῖοι ἦλθον μὲν ἐς
ἀγῶνα ὁμοίως τῆς δόξης καὶ ἐγένοντο ἐν τῇ χειροτονίᾳ ἀγχώμαλοι, ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. Καὶ τριήρη εὐθὺς ἄλλην ἀπέ- 2
στελλον κατὰ σπουδήν, ὅπως μὴ φθασάσης τῆς προτέρας εὕρωσι διεφθαρμένην τὴν πόλιν· προεῖχε [253] δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα. Παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηὶ οἶνον 3
καὶ ἄλφιτα καὶ μεγάλα ὑποσχομένων, εἰ φθάσειαν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη ὥστε ἤσθιόν τε ἅμα ἐλαύνοντες [254] οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυρμένα, καὶ οἱ μὲν ὕπνον ᾕροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. Κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος 4
καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα καὶ μέλλειν δράσειν τὰ δεδογμένα, ἡ δ' ὑστέρα [255] αὐτῆς ἐπικατάγεται καὶ διεκώλυσε μὴ [256] διαφθεῖραι. Παρὰ τοσοῦτον [257] μὲν ἡ Μυτιλήνη ἦλθε κινδύνου [258].

---

causal. — [242] "Os dejéis agraviar"; es epexegesis de τοῦτο. — [243] "La tesis de Cleón". — [244] Epexegesis: "la simultánea justicia y conveniencia del castigo". — [245] Es decir, ἐν τῇ καθέξει τῆς ἀρχῆς. — [246] Participio predicativo de εὑρίσκεται. — [247] "Tampoco yo". — [248] Cf. nota 9. — [249] "Vivir". — [250] "Sin embargo", a pesar del acuerdo anterior. — [251] Súplase (ἐστίν). — [252] Cf. nota 134. — [253] "Llevaba ventaja". — [254] Participio temporal completado por ἅμα: "al tiempo que remaban, sin dejar de remar". — [255] Depende de ἐπικατάγεται, "llegó tras ella". — [256] Expletivo tras verbo negativo. — [257] "A tan poca distancia". — [258] Genitivo de contenido.

Cleón en Pilos

(IV 26-28, 31-39)

En el año 425 a. J. C., el general ateniense Demóstenes fortificó y guarneció Pilos, en la costa de Mesenia, para desde allí hacer pillaje en el territorio sometido a Esparta. Los espartanos intentaron reconquistar Pilos y guarnecieron la isla de Esfacteria, situada enfrente, para evitar su utilización por los atenienses; pero éstos derrotaron a sus naves y los atenienses quedaron bloqueados en la isla. El bloqueo de ésta y, luego, el asalto de la misma y la capitulación de los lacedemonios, entre ellos unos 120 espartanos, son narrados en los capítulos que siguen. La acción de Pilos, sin duda el triunfo más destacado de Atenas en la guerra del Peloponeso, ofreció por primera vez el espectáculo de un ejército espartano que prefirió la rendición a la muerte y abrió el camino a la paz de Nicias (422 a. J. C.). De otra parte, sirvió para asegurar en el poder en Atenas a la facción extremista y belicista del partido popular, encabezada por Cleón y tan mal vista por Tucídides. Fue Cleón, en efecto, el que impidió que tuvieran éxito las tentativas de paz de Esparta cuando quedaron bloqueados sus hombres y quien luego logró contra toda esperanza la rendición de los mismos en un plazo de veinte días.

26 Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους οἱ Ἀθηναῖοι, καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. Ἐπίπονος δ' ἦν τοῖς Ἀθηναίοις ἡ φυλακὴ σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ ἦν κρήνη ὅτι μὴ [1] μία ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου καὶ αὕτη οὐ μεγάλη, ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ ἔπινον οἷον εἰκὸς [2] ὕδωρ. Στενοχωρίᾳ τε ἐν ὀλίγῳ στρατοπεδευομένοις [3] ἐγίγνετο, καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον [4] αἱ μὲν σῖτον ἐν τῇ γῇ ἤροῦντο κατὰ μέρος [5], αἱ δὲ μετέωροι ὥρμουν [6]. Ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε παρὰ λόγον ἐπιγιγνόμενος, οὓς [7] ᾤοντο ἡμερῶν

[1] Equivalente a εἰ μή. — [2] Referido a ὕδωρ, no adverbial; se trata de agua salina. — [3] Es decir, τοῖς Ἀθηναίοις. — [4] En la isla, se entiende, por estar ocupada por los lacedemonios. — [5] "Por turno". — [6] "Estaban anclados en alta mar". — [7] Falta un antecedente y hay toda una frase elíptica; entiéndase "porque

ὀλίγων[8] ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους. Αἴτιον[9] δὲ ἦν οἱ Λακεδαιμόνιοι προειπόντες ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον[10] ἀληλεμένον καὶ οἶνον καὶ τυρὸν καὶ εἴ τι ἄλλο[11] βρῶμα, οἵ[12] ἂν ἐς πολιορκίαν ξυμφέρῃ, τάξαντες ἀργυρίου πολλοῦ[13] καὶ τῶν εἱλώτων[14] τῷ ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. Καὶ ἐσῆγον ἄλλοι τε παρακινδυνεύοντες καὶ μάλιστα οἱ εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου ὁπόθεν τύχοιεν καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου. Μάλιστα δὲ ἐτήρουν ἀνέμῳ[15] καταφέρεσθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν, τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθειστήκει[16]· ἐπώκελλον γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων, καὶ οἱ ὁπλῖται περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον. Ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν[17], ἡλίσκοντο. Ἐσένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὄφυδροι, καλῷδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνου σπέρμα κεκομμένον[18]· ὧν τὸ πρῶτον λανθανόντων[19] φυλακαὶ ὕστερον ἐγένοντο. Παντί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο, οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς.

Ἐν δὲ ταῖς Ἀθήναις πυνθανόμενοι περὶ τῆς στρατιᾶς[20] ὅτι ταλαιπωρεῖται καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες[21] τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόννησον κομιδὴν ἀδύνατον

---

esperaban rendirles..." (el relativo es causal). — [8] Genitivo de tiempo. — [9] Seguido de un anacoluto (la construcción sería regular si dijera αἴτιοι). — [10] Sujeto de εἰσάγειν. — [11] Igual a ὁτιοῦν ἄλλο, "cualquier otro". — [12] Igual a οἷα, en construcción *ad sensum* con εἴ τι ἄλλο βρῶμα, que equivale a τὰ βρώματα. — [13] Genitivo de precio. — [14] Los hilotas son la antigua población convertida por los espartanos en esclavos de la gleba. — [15] Instrumental ("por el viento, con viento favorable"). — [16] Era imposible bloquear la isla desde el mar libre, y era por allí por donde, dando una vuelta, desembarcaban los hilotas. — [17] Optativo iterativo. — [18] Las simientes de adormidera y de lino eran alimentos usuales. — [19] Genitivo objetivo dependiente de φυλακαί. — [20] Proléptico, como si dijera ὅτι ἡ στρατιά; la construcción se repite a continuación. — [21] Construído con participios predicativos (ἐσομένην ... ἐσόμενον), pero luego

ἐσομένην, ἅμα ἐν χωρίῳ ἐρήμῳ καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες[22] ἱκανὰ περιπέμπειν, τόν τε ἔφορμον χωρίων ἀλιμένων ὄντων οὐκ ἐσόμενον, ἀλλ' ἢ σφῶν ἀνέντων[23] τὴν φυλακὴν περιγενήσεσθαι τοὺς ἄνδρας[24] ἢ τοῖς πλοίοις ἃ τὸν σῖτον αὐτοῖς ἦγε χειμῶνα[25] τηρήσαντας ἐκπλεύσεσθαι. Πάντων τε ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς[26] τι ἰσχυρὸν[27] αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι· καὶ μετεμέλοντο τὰς σπονδὰς[28] οὐ δεξάμενοι. Κλέων δὲ γνοὺς αὐτῶν[29] τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως οὐ τἀληθῆ ἔφη λέγειν τοὺς ἐσαγγέλλοντας. Παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ᾑρέθη κατάσκοπος αὐτὸς μετὰ Θεογένους ὑπὸ Ἀθηναίων. Καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς[30] διέβαλλεν ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεται, παρῄνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον[31] τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν μηδὲ διαμέλλειν καιρὸν παριέντας, εἰ δέ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας[32]. Καὶ ἐς Νικίαν τὸν Νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν[33], ἐχθρὸς ὢν καὶ ἐπιτιμῶν, ῥᾴδιον εἶναι παρασκευῇ[34], εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύσαντας[35] λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτός γ' ἄν, εἰ ἦρχε, ποιῆσαι
28 τοῦτο. Ὁ δὲ Νικίας τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων ἐς τὸν Κλέωνα, ὅ τι οὐ καὶ νῦν πλεῖ, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥντινα βούλεται δύναμιν λα-
2 βόντα τὸ ἐπὶ σφᾶς εἶναι[36] ἐπιχειρεῖν. Ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος

---

con infinitivos (περιγενήσεσθαι ... ἐκπλεύσεσθαι). — [22] La causa de esta imposibilidad se explica por medio de un participio causal (ὄντες) con dos indicaciones circunstanciales con ἐν. — [23] Genitivo absoluto causal; igual σφῶν ἀνέντων. — [24] Los lacedemonios. — [25] Aquí "tempestad" (antes "invierno"). — [26] Causal. — [27] "Una seguridad (de salvación)". — [28] La paz ofrecida poco ha por Esparta (capítulos 17-22). — [29] Los que traían noticias sobre las dificultades del asedio de la isla. — [30] Atracción equivalente a ἐκείνοις, οὕς. — [31] "En mayor grado". — [32] Los lacedemonios, desembarcando para hacerlos prisioneros. — [33] "Aludía". — [34] "Con sus tropas". — [35] Concertado con el sujeto (no explícito por ir en la oración anterior) de λαβεῖν. — [36] "Por lo que de

αὐτόν λόγῳ μόνον ἀφιέναι, ἑτοῖμος ἦν, γνοὺς δὲ τῷ ὄντι[37] παραδωσείοντα[38] ἀνεχώρει[39] καὶ οὐκ ἔφη[40] αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ οὐκ ἂν[41] οἰόμενός οἱ[42] αὐτὸν[43] τολμῆσαι ὑποχωρῆσαι. Αὖθις δὲ ὁ Νικίας ἐκέλευε καὶ ἐξίστατο τῆς ἐπὶ 3
Πύλῳ ἀρχῆς καὶ μάρτυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. Οἱ δέ, οἷον[44] ὄχλος φιλεῖ[45] ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ[46] ἐπεκελεύοντο τῷ Νικίᾳ παραδιδόναι τὴν ἀρχὴν καὶ ἐκείνῳ ἐπεβόων πλεῖν· ὥστε οὐκ ἔχων 4
ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν, καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη Λακεδαιμονίους πλεύσεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους τοὺς παρόντας καὶ πελταστὰς οἳ ἦσαν ἔκ τε Αἴνου βεβοηθηκότες καὶ ἄλλοθεν τοξότας τετρακοσίους· ταῦτα δὲ ἔχων πρὸς[47] τοῖς ἐν Πύλῳ στρατιώταις ἐντὸς ἡμερῶν εἴκοσι ἢ ἄξειν[48] Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ ἀποκτενεῖν. Τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι 5
καὶ γέλωτος[49] τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγνετο[50] τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης[51] Λακεδαιμονίους σφίσι[52] χειρώσεσθαι...

Οὐ προσδεξαμένων[53] δὲ αὖ μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' 31
ὑστεραίᾳ ἀνηγάγοντο μὲν νυκτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες, πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου[54] ἑκατέρωθεν, ἔκ τε τοῦ πελάγους καὶ πρὸς τοῦ λιμένος[55], ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται[56], καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ

---

ellos (los generales) dependía". — [37] "De verdad", en antítesis a λόγῳ μόνον. — [38] Es decir, τὴν ἀρχήν. — [39] "Se echaba atrás" (imperfecto de conato). — [40] Referido a στρατηγεῖν. — [41] Da valor potencial a τολμῆσαι. — [42] A él (Cleón). — [43] Nicias. — [44] Adverbial. — [45] "Gusta", "suele". — [46] Es decir, (μᾶλλον). — [47] "A más de". — [48] Depende del ἔφη precedente; igual ἀποκτενεῖν. — [49] Genitivo partitivo dependiente de τι. — [50] Nótese que ἀσμένοις ... ἐγίγνετο es construcción personal, como lat. *est mihi uolenti* (por ἡδὺ ἐγίγνετο). — [51] Depende de σφαλεῖσι: "en su cálculo". — [52] Dativo simpatético. — [53] Súplase (τῶν Λακεδαιμονίων); genitivo absoluto: los atenienses les habían pedido la rendición. — [54] Depende de ἑκατέρωθεν. — [55] Se refiere al puerto de Pilos. — [56] Súplase (οἱ Λακεδαιμόνιοι). — [57] Ante μέσον súplase (τό), e igualmente ante

2 πρῶτον φυλακτήριον τῆς νήσου. Ὧδε γὰρ διετετάχατο. Ἐν ταύτῃ μὲν τῇ φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖται, μέσον [57] δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπιτάδας ὁ ἄρχων εἶχε, μέρος δέ τι οὐ πολὺ αὐτὸ τὸ ἔσχατον ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν λίθων [58] λογάδην πεποιημένον, ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ κατα-
32 λαμβάνοι ἀναχώρησις βιαιοτέρα [59]. Οὕτω μὲν τεταγμένοι ἦσαν. Οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν, ἔν τε ταῖς εὐναῖς ἔτι [60] κἀναλαμβάνοντας τὰ ὅπλα καὶ λαθόντες τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ εἰωθὸς
2 ἐς ἔφορμον τῆς νυκτὸς [61] πλεῖν. Ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινεν, ἐκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλειόνων πάντες πλὴν θαλαμιῶν, ὡς ἕκαστοι [62] ἐσκευασμένοι, τοξόται δὲ ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων [63] τε οἱ βεβοηθηκότες καὶ οἱ ἄλλοι ὅσοι περὶ Πύλον κατ-
3 εἶχον [64] πάντες πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος διέστησαν κατὰ διακοσίους καὶ πλείους, ἔστι δ' ἣ ἐλάσσους, τῶν χωρίων τὰ μετεωρότατα [65] λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ᾖ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις καὶ μὴ ἔχωσι πρὸς ὅ τι ἀντιτάξωνται, ἀλλ' ἀμφίβολοι [66] γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν [67] βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων.
4 Κατὰ νώτου τε αἰεὶ ἔμελλον αὐτοῖς [68], ἢ χωρήσειαν οἱ πολέμιοι, ἕσεσθαι ψιλοί, καὶ οἱ ἀπορώτατοι [69], τοξεύμασι καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν· οἷς μηδὲ ἐπελθεῖν

περὶ τὸ ὕδωρ; depende de εἶχε. — [58] Genitivo de materia. — [59] Comparativo absoluto, equivale aproximadamente a un superlativo. — [60] Súplase (ὄντας). — [61] "Para el bloqueo durante la noche". — [62] "Según cada grupo", "en formas diversas". — [63] Los mesenios establecidos en Naupacto, enemigos tradicionales de Esparta. — [64] "Permanecían". — [65] "La ciudadela de Pilos". — [66] "Vulnerables desde dos lados". — [67] Súplase (τῶν Ἀθηναίων). — [68] Dativo ético (τοῖς Ἀθηναίοις). — [69] "Y eran (éstos) los (que estaban) en peor situa-

οἷόν τε ἦν[70]· φεύγοντές τε γὰρ ἐκράτουν[71] καὶ ἀναχωροῦσιν ἐπέκειντο. Τοιαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τό τε πρῶτον τὴν ἀπόβασιν ἐπενόει καὶ ἐν τῷ ἔργῳ ἔταξεν. Οἱ δὲ περὶ τὸν Ἐπιτάδαν καὶ 33
ὅπερ ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ, ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρμένον καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο καὶ τοῖς ὁπλίταις τῶν Ἀθηναίων ἐπῆσαν, βουλόμενοι ἐς χεῖρας ἐλθεῖν· ἐξ ἐναντίας[72] γὰρ οὗτοι καθειστήκεσαν, ἐκ πλαγίου δὲ οἱ ψιλοὶ καὶ κατὰ νώτου. Τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἐδυνήθησαν προσ- 2
μεῖξαι οὐδὲ τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι· οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῆσαν, ἀλλ' ἡσύχαζον. Τοὺς δὲ ψιλούς, ᾗ[73] μάλιστα αὐτοῖς προσθέοντες προσκέοιντο, ἔτρεπον, καὶ οἳ[74] ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς[75] χωρίων τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων, ἐν οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἐδύναντο διώκειν[76] ὅπλα ἔχοντες. Χρόνον μὲν οὖν τινα ὀλίγον οὕτω πρὸς ἀλλήλους ἠκροβολίσαντο· 34
τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ᾗ προσπίπτοιεν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ[77] βραδυτέρους ἤδη ὄντας τῷ ἀμύνεσθαι[78], καὶ αὐτοὶ τῇ τε ὄψει[79] τοῦ θαρσεῖν[80] τὸ πλεῖστον εἰληφότες πολλαπλάσιοι φαινόμενοι καὶ ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς[81] ὁμοίως σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ὥσπερ[82] ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς[83] ἐπὶ Λακεδαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἅθρόοι ὥρμησαν ἐπ' αὐτοὺς καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχεν. Γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ ἔκπληξίς τε ἐνέπεσεν 2

---

ción". — [70] Es decir, no podían causar daño a los atenienses. — [71] Los atenienses (su retirada era una victoria, por cuanto al perseguirles los lacedemonios descubrían su retaguardia). — [72] "Enfrente". — [73] "Allí donde". — [74] Pronombre. — [75] "En la huída". — [76] "Salir al encuentro". — [77] Su verbo es ὥρμησαν, varias líneas más abajo. — [78] "En la defensa". — [79] "A la vista", explicado por πολλαπλάσιοι φαινόμενοι. — [80] Genitivo partitivo dependiente de τὸ πλεῖστον. — [81] Súplase (τοὺς Λακεδαιμονίους). — [82] Referido a ὁμοίως. — [83] Lat. *quippe contra*, con valor causal. — [84] Agente, en vez de ὑπό para evitar

ἀνθρώποις ἀήθεσι τοιαύτης μάχης καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω, ἄπορόν τε ἦν ἰδεῖν τὸ πρὸ αὐτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ[84] πολλῶν ἀνθρώπων
3 μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων[85]. Τό τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς Λακεδαιμονίοις καθίστατο. Οὔτε γὰρ οἱ πῖλοι[86] ἔστεγον τὰ τοξεύματα, δορατιά τε ἐναπεκέκλαστο βαλλομένων[87], εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρήσασθαι[88] ἀποκεκλῃμένοι μὲν τῇ ὄψει[89] τοῦ προορᾶν ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες, κινδύνου τε πανταχόθεν περιεστῶτος[90] καὶ οὐκ ἔχοντες ἐλπίδα καθ' ὅ τι χρὴ ἀμυνομέ-
35 νους σωθῆναι. Τέλος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ αἰεὶ ἐν τῷ αὐτῷ[91] ἀναστρέφεσθαι, ξυγκλῄσαντες[92] ἀνεχώρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου οὐ πολὺ ἄπεχον καὶ τοὺς ἑαυτῶν
2 φύλακας. Ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα δὴ πολλῷ ἔτι πλέονι βοῇ τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο, καὶ τῶν Λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπέθνῃσκον, οἱ δὲ πολλοὶ διαφυγόντες πρὸς τὸ ἔρυμα μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ
3 πᾶν[93] ὡς ἀμυνούμενοι ἧπερ ἦν ἐπίμαχον. Καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περίοδον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύι οὐκ
4 εἶχον[94], προσιόντες δὲ ἐξ ἐναντίας ὥσασθαι ἐπειρῶντο, καὶ χρόνον μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψης καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι· ῥᾷον δ' οἱ Λακεδαιμόνιοι ἠμύνοντο ἢ ἐν τῷ πρίν, οὐκ οὔσης σφῶν[95] τῆς
36 κυκλώσεως ἐς τὰ πλάγια. Ἐπειδὴ δὲ ἀπέραντον ἦν, προσελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλέωνι καὶ Δημοσθένει ἄλλως ἔφη

---

la repetición. — [85] "Lanzados". — [86] "Corazas de fieltro". — [87] Súplase (τῶν Λακεδαιμονίων) : "al ser alcanzados". — [88] "Servirse de sí mismos", "hacer". — [89] "Por lo que velan" (polvo, etc.). — [90] Genitivo absoluto que introduce una *variatio* junto a los participios circunstanciales referidos al sujeto de εἶχον (οἱ Λακεδαιμόνιοι). — [91] "En el mismo lugar". — [92] Intransitivo: "cerrando", "en formación compacta". — [93] "A lo largo de todo él". — [94] "No tenían (posibilidad de)"; los abstractos περίοδον y κύκλωσιν funcionan como infinitivos. — [95] Genitivo subjetivo. — [96] De los peltastas, tropas armadas ligeramente. —

πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν[96] περιιέναι[97] κατὰ νώτου αὐτοῖς[98] ὁδῷ[99] ᾗ[100] ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσεσθαι τὴν ἔφοδον. Λαβὼν δὲ ἃ ᾔτησατο, ἐκ 2
τοῦ ἀφανοῦς ὁρμήσας ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ αἰεὶ παρεῖκον[101] τοῦ κρημνώδους τῆς νήσου προβαίνων καὶ ᾗ οἱ Λακεδαιμόνιοι χωρίου ἰσχύι πιστεύοντες οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε[102], καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ[103] ἐξέπληξε, τοὺς δὲ ἃ προσεδέχοντο ἰδόντας πολλῷ μᾶλλον ἐπέρρωσεν. Καὶ 3
οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι[104], τῷ ἐν Θερμοπύλαις (ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν οὗτοί τε), ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι[105] καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν[106] ὑπεχώρουν· καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων. Γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης[107], εἰ καὶ ὁποσονοῦν 37
μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως τοῦ κηρύγματος ἀκούσαντες ἐπικλασθεῖεν τῇ γνώμῃ[108] καὶ ἧσσηθεῖεν τοῦ παρόντος δεινοῦ[109], ἐκήρυξάν[110] τε, εἰ βούλονται, τὰ ὅπλα παραδοῦναι καὶ 2
σφᾶς αὐτοὺς Ἀθηναίοις ὥστε βουλεῦσαι ὅ τι ἂν ἐκείνοις δοκῇ. Οἱ δὲ 38
ἀκούσαντες παρεῖσαν τὰς ἀσπίδας οἱ πλεῖστοι καὶ τὰς χεῖρας ἀνέ-

---

[97] Infinitivo de finalidad, dependiente de δοῦναι. — [98] Súplase (τοῖς Λακεδαιμονίοις). — [99] Instrumental prosecutivo. — [100] Atracción por ἥν. — [101] "La parte accesible". — [102] *Construcción perifrástica con participio predicativo.* — [103] "Con la sorpresa". — [104] Infinitivo restrictivo con ὡς; como se sabe, los espartanos de Leónidas fueron cogidos de espaldas por los persas, a quienes guió el traidor Efialtes. — [105] *Participio causal* (hay *variatio:* la idea de causa se expresa a continuación con un dativo-instrumental). — [106] Se refiere διὰ τὴν σιτοδείαν a ἀσθενείᾳ. — [107] Súplase (τοὺς Λακεδαιμονίους); construcción de verbo de percepción con acusativo predicativo. — [108] "*En su decisión*" (propósito de resistir). — [109] Genitivo con verbo comparativo ("ser vencido por..."). — [110] Construído con infinitivo como un verbo de voluntad; equivale a

σεισαν δηλοῦντες προσίεσθαι τὰ κεκηρυγμένα. Μετὰ δὲ ταῦτα γενομένης τῆς ἀνοκωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης καὶ ἐκείνων Στύφων ὁ Φάρακος, τῶν πρότερον ἀρχόντων [111] τοῦ μὲν πρώτου τεθνηκότος, Ἐπιτάδου, τοῦ [112] δὲ μετ' αὐτὸν Ἱππαγρέτου [113] ἐφῃρημένου ἐν τοῖς νεκροῖς ἔτι ζῶντος κειμένου ὡς [114] τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον,
2 εἴ τι ἐκεῖνοι πάσχοιεν. Ἔλεξε δὲ ὁ Στύφων καὶ οἱ μετ' αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμο-
3 νίους ὅ τι χρὴ σφᾶς ποιεῖν. Καὶ ἐκείνων [115] μὲν οὐδένα ἀφιέντων [116], αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρίς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι «Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι μηδὲν αἰσχρὸν ποιοῦντας [117]». Οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι
4 τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. Καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τἆλλα διεσκευάζοντο ὡς ἐς πλοῦν καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διέδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι κήρυκα πέμ-
5 ψαντες τοὺς νεκροὺς διεκομίσαντο. Ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον. Καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδαία ἦν.

"les ordenaron". — [111] Genitivo partitivo dependiente de los genitivos absolutos que siguen. — [112] Concuerda con Ἱππαγρέτου y va determinado temporalmente por μετ' αὐτόν; según la costumbre espartana habían sido elegidos tres jefes para tomar el mando cuando muriera el que precedía según el orden designado. — [113] El participio con que forma el genitivo absoluto es κειμένου. — [114] "Como", "dado por". — [115] Genitivo partitivo dependiente de οὐδένα. — [116] Súplase (τῶν Ἀθηναίων). — [117] En boca de un espartano esto equivale a exigir la resistencia hasta la muerte; pero los sitiados lo entendieron de otra

Χρόνος δὲ ὁ ξύμπας ἐγένετο ὅσον οἱ ἄνδρες ἐν τῇ νήσῳ ἐπο- 39
λιορκήθησαν, ἀπὸ τῆς ναυμαχίας [118] μέχρι τῆς ἐν τῇ νήσῳ μάχης,
ἑβδομήκοντα ἡμέραι καὶ δύο. Τούτων περὶ εἴκοσι ἡμέρας, ἐν αἷς 2
οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῆσαν, ἐσιτοδοτοῦντο, τὰς δὲ ἄλλας
τοῖς ἐσπλέουσι [119] λάθρᾳ διετρέφοντο· καὶ ἦν σῖτός τις ἐν τῇ νήσῳ
καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδε-
εστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς [120] τὴν ἐξουσίαν. Οἱ μὲν δὴ 3
Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἑκ τῆς
Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης
οὖσα ἡ ὑπόσχεσις ἀπέβη [121]· ἐντὸς γὰρ εἴκοσι ἡμερῶν ἤγαγε τοὺς
ἄνδρας, ὥσπερ ὑπέστη.

---

manera. — [118] En que, derrotados los espartanos, quedó bloqueada la isla (capítulo 14). — [119] Es neutro. — [120] "En proporción con". — [121] "Se cumplió".

Derrota ateniense ante Siracusa

(VII 42-44)

En el año 415 a. J. C., aprovechando la paz de Nicias, el partido imperialista de Atenas consiguió embarcar a la ciudad en la empresa de conquistar Sicilia, comenzando por el ataque contra Siracusa; el pretexto de la campaña era ayudar a la ciudad de Leontinos, aliada de Atenas y enemiga de Siracusa. La gran expedición naval, mandada por Alcibiades, instigador de la misma, y Nicias, político moderado opuesto a ella en principio, constituyó el mayor esfuerzo militar de Atenas. Pronto Alcibiades, perseguido por los atenienses por su supuesta participación en hechos sacrílegos, huyó y se refugió en Esparta; Nicias continuó solo la campaña y, tras diversos éxitos iniciales, estuvo a punto de cercar completamente Siracusa, lo que evitó en último extremo la intervención del lacedemonio Gilipo. El presente fragmento narra la derrota decisiva de Atenas, presagio de la catástrofe final, cuando fracasó el intento de Demóstenes, que había llevado como refuerzo una expedición ateniense, de tomar al asalto la altura de las Epípolas y completar el cerco de Siracusa destruyendo el contramuro construído

entre la ciudad y aquellas colinas. El relato sólo cobra todo su valor dentro de la narración de Tucídides; esta acción representa el último y desesperado esfuerzo ateniense después de las anteriores derrotas, que siguieron a los éxitos y al optimismo inicial, y antes de la lenta agonía del ejército ateniense, que acaba con el cautiverio o la muerte. Atenas perdió en Sicilia lo mejor de su ejército, a pesar de lo cual todavía resistió nueve años (hasta el 404 a. J. C.) a la guerra renovada que les hicieron entonces los peloponesios.

42 Ἐν τούτῳ δὲ Δημοσθένης καὶ Εὐρυμέδων ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν ταῖς ξενικαῖς[1] καὶ ὁπλίτας περὶ πεντακισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων, ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους καὶ σφενδονήτας καὶ τοξότας καὶ τὴν 2 ἄλλην παρασκευὴν ἱκανήν. Καὶ τοῖς μὲν Συρακοσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα[2] οὐκ ὀλίγη ἐγένετο, εἰ[3] πέρας μηδὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου, ὁρῶντες[4] οὕτε διὰ τὴν Δεκέλειαν τειχιζομένην[5] οὐδὲν ἧσσον[6] στρατὸν ἴσον καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα τήν τε τῶν Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην· τῷ δὲ προτέρῳ στρατεύματι 3 τῶν Ἀθηναίων ὡς[7] ἐκ κακῶν ῥώμη τις ἐγεγένητο. Ὁ δὲ Δημοσθένης ἰδὼν ὡς εἶχε τὰ πράγματα καὶ νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν οὐδὲ παθεῖν ὅπερ ὁ Νικίας ἔπαθεν (ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας φοβερός[8], ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις, ἀλλ' ἐν Κατάνῃ διεχείμαζεν, ὕπερῴφθη τε καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος[9], ἣν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακόσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι ἅμα τ' ἂν ἔμαθον ἧσσους ὄντες[10] καὶ ἀποτετειχισμένοι ἂν ἦσαν, ὥστε μηδ' εἰ μετέπεμψαν ἔτι ὁμοίως

[1] De los aliados de Atenas. — [2] "De momento". — [3] Condicional que equivale a una causal. — [4] Anacoluto. — [5] Los atenienses fortificaron Decelia, en el Atica, y mantenían allí una guarnición que amenazaba constantemente a Atenas; la construcción equivale a una expresión abstracta (cf. nota 9 de página 70). — [6] Neutro adverbial. — [7] Modal. — [8] Predicativo de ἀφικόμενος. — [9] Predicativo con ἔφθασεν, "tuvo tiempo de llegar". — [10] Predicativo referido

ἂν αὐτοὺς ὠφελεῖν [11]), ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅ τι τάχος [12] ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. Καὶ ὁρῶν τὸ παρατείχισμα [13] τῶν Συρακοσίων, ᾧ ἐκώλυσαν περιτειχίσαι σφᾶς [14] τοὺς Ἀθηναίους, ἁπλοῦν ὂν καί, εἰ ἐπικρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως [15] καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθέν [16] (οὐδὲ γὰρ ὑπομεῖναι [17] ἂν σφᾶς οὐδένα), ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ, καὶ ξυντομωτάτην ἠγεῖτο διαπολέμησιν· ἢ γὰρ κατορθώσας ἕξειν [18] Συρακούσας ἢ ἀπάξειν τὴν στρατιὰν καὶ οὐ τρίψεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν. Πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακοσίων ἔτεμνον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον καὶ τῷ στρατεύματι ἐπεκράτουν, ὥσπερ τὸ πρῶτον, τῷ τε πεζῷ καὶ ταῖς ναυσίν [19] (οὐδὲ γὰρ καθ' ἕτερα [20] οἱ Συρακόσιοι ἀντεπεξῆσαν ὅτι μὴ [21] τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου). Ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσαι τοῦ παρατειχίσματος. Ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων αἱ μηχαναὶ καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν, ἀλλὰ πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς [22] ἐπενόει, καὶ τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. Καὶ [23] ἡμέρας [24] μὲν ἀδύνατα [25] ἐδόκει εἶναι

4

6

6

43

2

---

a ἔμαθον. — [11] Con valor modal por el ἄν precedente y con un complemento directo αὐτούς. — [12] Adverbial: "con la mayor brevedad". — [13] Es el contramuro o muro transversal, con ayuda del cual impidieron a los atenienses completar su cerco de Siracusa. — [14] Sujeto de περιτειχίσαι (complemento directo σφᾶς). — [15] Depende de κρατήσειε; las Epípolas son una zona elevada vecina a Siracusa. — [16] Participio predicativo (con valor potencial por el ἄν) referido, al igual que antes ὅν, a τὸ παρατείχισμα; pero, como queda lejos, se introduce un αὐτό. — [17] Potencial (por el ἄν) dependiente de ὁρῶν; su sujeto es οὐδένα y el complemento directo σφᾶς. — [18] Depende de ἠγεῖτο. — [19] Aposición a τῷ στρατεύματι. — [20] "De una u otra forma", "ni por tierra ni por mar". — [21] Igual a εἰ μή. — [22] Referido a ἐποιεῖτο. — [23] "Así". — [24] Genitivo de tiempo. — [25] Igual a ἀδύνατον. — [26] "Comida para cinco días". —

λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας, παραγγείλας δὲ πέντε ἡμερῶν σιτία [26] καὶ τοὺς λιθολόγους καὶ τέκτονας πάντας λαβὼν καὶ ἄλλην παρασκευήν, τοξευμάτων [27] τε καὶ ὅσα [28] ἔδει, ἣν κρατῶσι, τειχίζοντας [29] ἔχειν, αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν ἐχώρει πρὸς
3 τὰς Ἐπιπολάς, Νικίας δὲ ἐν τοῖς τείχεσιν ὑπελείπετο. Καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον [30], ἥπερ καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον ἀνέβη [31], λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακοσίων καὶ προσβάντες τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακο-
4 σίων αἱροῦσι καὶ ἄνδρας τινὰς τῶν φυλάκων ἀποκτείνουσιν· οἱ δὲ πλείους διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία ἐν προτειχίσμασιν, ἓν μὲν τῶν Συρακοσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον καὶ τοῖς ἑξακοσίοις τῶν Συρακοσίων, οἳ καὶ πρῶτοι [32] κατὰ
5 τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον. Οἱ δ' ἐβοήθουν τε εὐθύς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους προθύμως ἔτρεψαν. Καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι [33] ὧν ἕνεκα ἦλθον μή βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ ἀπὸ τῆς πρώ-
τῆς [34] ‹τὸ› παρατείχισμα τῶν Συρακοσίων, οὐχ ὑπομενόντων τῶν
6 φυλάκων, ᾖρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον. Οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Γύλιππος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων, καὶ ἀδοκήτου τοῦ τολμήματος ἐν νυκτὶ σφίσι γενομένου προσέβαλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι καὶ
7 βιασθέντες ὑπ' αὐτῶν τὸ πρῶτον ὑπεχώρησαν. Προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη ὡς κεκρατηκότων καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου [35] τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν, ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου αὖθις ξυστραφῶσιν, οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον καὶ προσβαλόντες ἔτρεψάν τε

---

[27] Genitivo de contenido. — [28] Complemento directo de ἔχειν. — [29] "Para construir el muro". — [30] Fuerte en la extremidad O. de las Epípolas. — [31] En el primer intento, fallido, de tomar las Epípolas (cf. VI 97 ss.). — [32] "Los primeros", "como primera cobertura". — [33] Genitivo dependiente de βραδεῖς. — [34] Súplase (ὁρμῆς); "en el primer ataque". — [35] Neutro (se refiere al ejército

καὶ ἐς φυγὴν κατέστησαν. Καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ 44
ἀπορίᾳ ἐγίγνοντο οἱ Ἀθηναῖοι, ἢν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ'
ἀφ' ἑτέρων [36] ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη [37]. Ἐν μὲν γὰρ ἡμέρᾳ
σαφέστερα μέν [38], ὅμως δὲ οὐδὲ ταῦτα [39] οἱ παραγενόμενοι πάντα
πλὴν τὸ καθ' ἑαυτόν ἕκαστος μόλις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ, ἢ
μόνη δὴ στρατοπέδων μεγάλων ἔν γε τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς
ἄν τις σαφῶς τι ᾔδει [40]; Ἦν μὲν γὰρ σελήνη λαμπρά, ἑώρων δὲ 2
οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς [41] τὴν μὲν ὄψιν τοῦ σώματος
προορᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. Ὁπλῖται δὲ ἀμ-
φοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. Καὶ τῶν Ἀθη- 3
ναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι
ἐχώρουν. Πολὺ δὲ καὶ τοῦ ἄλλου στρατεύματος [42] αὐτοῖς τὸ μὲν
ἄρτι ἀνεβεβήκει, τὸ δ' ἔτι προσανῄει, ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ τι
χρὴ χωρῆσαι. Ἤδη γὰρ τὰ πρόσθεν [43] τῆς τροπῆς γεγενημένης ἐτε-
τάρακτο πάντα καὶ χαλεπὰ [44] ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. Οἵ τε γὰρ 4
Συρακόσιοι καὶ οἱ ξύμμαχοι ὡς κρατοῦντες παρεκελεύοντό τε
κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν [45] ἐν νυκτὶ ἄλλῳ τῳ σημ-
μῆναι, καὶ ἅμα τοὺς προσφερομένους [46] ἐδέχοντο· οἵ τε Ἀθηναῖοι
ἐζήτουν τε σφᾶς αὐτοὺς καὶ πᾶν τὸ ἐξ ἐναντίας [47], καὶ εἰ φίλιον εἴη
τῶν ἤδη πάλιν φευγόντων [48], πολέμιον ἐνόμιζον, καὶ τοῖς ἐρωτή-
μασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ [49]
γνωρίσαι, σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον ἅμα πάντες
ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ' ἐκεί- 5
νων οὐχ ὁμοίως ἠπίσταντο, διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διε-
σπασμένους ἧσσον ἀγνοεῖσθαι [50], ὥστ', εἰ μὲν ἐντύχοιέν [51] τισι κρείσ-

---

enemigo; τῶν ἐναντίων es genitivo partitivo). — [36] "Por uno y otro ejército"; la construcción normal de πυνθάνεσθαι es simplemente genitivo sin preposición. — [37] Igual a ξυνέβη. — [38] Súplase (εἰσὶ πάντα). — [39] Igual a τὰ ἐν ἡμέρᾳ. — [40] Irreal de presente. — [41] Súplase (ἐστί); lleva una epexegesis que alcanza hasta el punto. — [42] Genitivo partitivo dependiente de πολύ; se trata del ejército que no había participado en el primer choque. — [43] "Las primeras tropas". — [44] Igual a χαλεπόν. — [45] Acusativo absoluto. — [46] Son los atenienses. — [47] "A todos los que venían de enfrente". — [48] Genitivo epexegético ("consistente en..."). — [49] Instrumental. — [50] Voz media recíproca. — [51] Optativo iterativo; el sujeto es "los atenienses". — [52] Da valor causal al

σους ὄντες τῶν πολεμίων, διέφευγον αὐτοὺς ἅτε[52] ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα, εἰ δ' αὐτοὶ μὴ ὑποκρίνοιντο, διεφθείροντο.
6 Μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψε καὶ ὁ παιανισμός· ἀπὸ γὰρ ἀμφοτέρων[53] παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. Οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν ὁπότε παιανίσειαν, φόβον παρεῖχε τοῖς Ἀθηναίοις, οἵ τε πολέμιοι ὁμοίως.
7 Ὥστε τέλος[54] ξυμπεσόντες αὐτοῖς[55] κατὰ πολλὰ[56] τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον καθίστασαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις
8 ἐλθόντες μόλις ἀπελύοντο. Καὶ διωκόμενοι κατά τε τῶν κρημνῶν πολλοὶ ῥιπτοῦντες ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως, καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σῳζόμενοι ἄνωθεν καταβαῖεν, οἱ μὲν πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν προτέρων στρατιωτῶν[57] ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ στρατόπεδον διεφύγγανον, οἱ δὲ ὕστερον ἥκοντες εἰσὶν οἳ[58] διαμαρτόντες τῶν ὁδῶν κατὰ τὴν χώραν ἐπλανήθησαν· οἷς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππῆς τῶν Συρακοσίων περιελάσαντες διέφθειραν.

---

genitivo absoluto. — [53] "(El entonado) por ambos ejércitos". — [54] Adverbial: "finalmente". — [55] Súplase (οἱ Ἀθηναῖοι); la frase es explicada por las aposiciones a este sujeto implícito y a αὐτοῖς que siguen. — [56] "En muchos puntos". — [57] De la primera expedición ateniense, no de la segunda de Nicias. — [58] Igual a ἔνιοι.

ARISTOFANES



Aristófanes (vivió del 450 al 380 a. J. C. aproximadamente) es el único escritor de la llamada comedia antigua —la del s. v— del que han llegado a nosotros obras completas, concretamente once. La comedia antigua, nacida de la libre expresión permitida en determinadas ceremonias del culto de Dioniso, tuvo un carácter satírico, referido a la actualidad ateniense; tanto a costumbres y modo de vida como a personas determinadas, que no se vacilaba en sacar a la escena. Esta sátira está hecha predominantemente desde un punto de vista conservador, atacando o caricaturizando las innovaciones y el espíritu de la democracia avanzada (en *Las aves, Las avispas)* así como a sus hombres (Cleón, sobre todo, en *Los caballeros)* y su política imperialista *(Los acarnienses, La paz);* también son objeto de las burlas, no siempre justas, de Aristófanes los representantes del nuevo espíritu racional (Sócrates y los sofistas, con quienes le confunde, en *Las nubes)* o de la nueva poesía, que descubre el mundo de lo individual y lo afectivo (Eurípides, atacado en *Las ranas* y *Las tesmoforias).* Citemos aún, sobre temas más o menos relacionados con éstos, *Lisístrata* y *La asamblea de las mujeres.*

La sátira de Aristófanes va presentada dentro de un argumento de ficción en que la fantasía del poeta nos ofrece toda clase de extraordinarias sorpresas y mezcla el más fino lirismo con el realismo costumbrista y la chocarrería y

obscenidad. Para el conocimiento del ambiente de la Atenas de la época de la guerra del Peloponeso y, también, del ático coloquial, la lectura de Aristófanes es indispensable.

La última comedia, *Pluto*, se aparta un tanto de las anteriores, en cuanto elimina el tono personal y violento, al parecer en virtud de una ley aprobada en Atenas en este sentido. Es ya un precedente de la comedia media y nueva, que, a través de los cómicos latinos, empalma con nuestra tradición.

En Aristófanes hallamos alguna variedad de metros, aun dentro de los breves fragmentos que hemos recogido.

La parábasis de *Acarn.* 628-658 está compuesta en versos aristofanios, que son tetrámetros anapésticos catalécticos o incompletos. Esto es, siete anapestos y medio, sustituibles todos ellos por espondeos o dáctilos. Detrás de los cuatro primeros hay una diéresis.

En el mismo metro se mide el ἀγών de *Avisp.* 548-620, al que siguen cuatro dimetros anapésticos (cuatro anapestos igualmente sustituibles); un monómetro anapéstico (dos anapestos sustituibles); otros dos dimetros, otro monómetro, otros dos dímetros (el último con cesura en vez de diéresis) y, para terminar, una cláusula consistente en un dimetro anapéstico cataléctico (tres anapestos sustituibles y medio).

El último trozo de *Las avispas* y el de *Los caballeros* están compuestos en trímetros yámbicos, pero con una enorme libertad en las sustituciones, como es costumbre en la comedia.

Aristófanes se defiende

(Acarnienses 628-658)

Los acarnienses, primera de las obras conservadas de Aristófanes —se representó el año 425—, es un alegato a favor de la paz con los lacedemonios para poner fin a la guerra del Peloponeso. Un ateniense, Diceópolis, pacta privadamente con Esparta y lleva una vida de abundancia que contrasta con la miseria general. Para Aristófanes, representante en esto de los círculos conservadores más extremistas, la guerra es obra, con vistas a buscar beneficios personales, del partido popular, dentro del cual el personaje más odiado es Cleón. Según el poeta nos cuenta (vv. 377-82), éste le llevó ante los tribunales atenienses por los ataques contenidos en una obra anterior, *Los babilonios*. El presente fragmento es parte de la parábasis de la comedia, en la cual el coro cómico se dirigía a los espectadores hablándoles directamente, fuera de la ficción teatral, en este caso defendiendo a su poeta, Aristófanes, de los ataques de Cleón.

Ἐξ οὗ [1] γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκαλος [2] ἡμῶν,
οὔπω παρέβη [3] πρὸς τὸ θέατρον λέξων ὡς δεξιός ἐστιν·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις [4], 630
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,

[1] "Desde que". — [2] El poeta (trágico o cómico) pide al arconte un coro, al cual enseña su obra para que se la represente: de ahí la expresión. — [3] Es realmente el coro el que "gira" hacia los espectadores; lo que se quiere decir es que Aristófanes no había introducido nunca una parábasis hablando de sí mismo, como era costumbre. — [4] "Fáciles para cambiar de opinión", epíteto que completa a μεταβούλους; cf. el episodio de la condena y perdón de los mitileneos. —

ἀποκρίναοθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
Φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν ὁ ποητής,
παύσας [5] ὑμᾶς ξενικοῖσι λόγοις [6] μὴ λίαν ἐξαπατᾶσθαι,
μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι Χαυνοπολίτας [7].
Πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων [8] οἱ πρέσβεις ἐξαπατῶντες
πρῶτον μὲν ἰοστεφάνους [9] ἐκάλουν· κἄπειδή [10] τοῦτό τις εἶποι,
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε [11].
Εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς [12] καλέσειεν Ἀθήνας,
ἤῦρετο πᾶν ἂν [13] διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας [14].
Ταῦτα ποήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται,
καὶ τοὺς δήμους [15] ἐν ταῖς πόλεσιν δείξας [16] ὡς δημοκρατοῦνται [17].
Τοιγάρτοι νῦν οὐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
ἥξουσιν [18] ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον,
ὅστις παρεκινδύνευσ' ἐν Ἀθηναίοις εἰπεῖν τὰ δίκαια.
Οὕτω δ' αὐτοῦ [19] περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
ὅτε καὶ [20] βασιλεὺς [21] Λακεδαιμονίων τὴν πρεσβείαν [22] βασανίζων
ἠρώτησεν πρῶτα μὲν αὐτοὺς πότεροι [23] ταῖς ναυσὶ κρατοῦσιν,

---

[5] Se construye con μή (y μήτε) expletivo por contener una idea negativa; puede traducirse por "impidiéndoos...". — [6] Alude a la oratoria sofística, influída por Gorgias. — [7] Habitantes de Χαυνόπολις, la ciudad "que abre la boca", de tanta admiración. — [8] Referido a οἱ πρέσβεις (como si dijera οἱ ἀπὸ τῶν πόλεων πρέσβεις; las ciudades son las de la liga marítima, que encabeza Atenas). — [9] Es epíteto poético de Atenas (Píndaro, fr. 76). — [10] *Variatio:* el πρῶτον μέν exigía un ἔπειτα δέ o algo por el estilo. — [11] Los asistentes a la asamblea ateniense, en la Pnix, se sentaban en el suelo. — [12] Como en el mismo fragmento de Píndaro. — [13] Da valor iterativo al imperfecto. — [14] Quiere decir que el adjetivo se aplica más propiamente a los boquerones. — [15] Con prolepsis. — [16] Coordinado con ποιήσας. — [17] Con doble sentido: las ciudades aliadas son gobernadas por el δῆμος de Atenas; el ὡς "cómo" alude a las denuncias de Aristófanes sobre la explotación de esas ciudades por los demagogos atenienses. — [18] Para las Grandes Dionisias, en que se representaban comedias (aunque no ésta), venían a Atenas delegados de las ciudades aliadas trayendo el tributo anual. — [19] Depende de τόλμης. — [20] Lat. *cum etiam,* "puesto que". — [21] El rey de Persia (el Rey por antonomasia). — [22] Enviada para solicitar su alianza; la conversación es, por supuesto, ficticia, pero no el hecho de la existencia de tales embajadas (cf. Tucídides IV 50). — [23] Es decir, si ellos o los atenienses; igual sentido tiene

εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἶποι κακὰ πολλά·
τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους [24] πολὺ βελτίους γεγενῆσθαι
καὶ τῷ πολέμῳ πολὺ [25] νικήσειν τοῦτον ξύμβουλον [26] ἔχοντας.
Διὰ ταῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται
καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν [27]· καὶ τῆς νήσου μὲν ἐκείνης
οὐ φροντίζουσ', ἀλλ' [28] ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται [29].
'Αλλ' ὑμεῖς τοι μή ποτ' ἀφῆσθ' [30] ὡς [31] κωμῳδήσει τὰ δίκαια.
Φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὥστ' εὐδαίμονας εἶναι,
οὐ θωπεύων οὐδ' ὑποτείνων μισθοὺς [32] οὐδ' ἐξαπατύλλων,
οὐδὲ πανουργῶν οὐδὲ κατάρδων [33], ἀλλὰ τὰ βέλτιστα διδάσκων.

---

el ποτέρους del verso siguiente, que es proléptico. — [24] La ciudad criticada por Aristófanes. — [25] Adverbial (igual en 651). — [26] A Aristófanes. — [27] Como condición para hacer esa paz que ofrecen: Atenas había expulsado de Egina a sus habitantes, dorios y amigos de los lacedemonios, que los habían establecido en el Peloponeso; no tenemos noticias de esta oferta de paz (*Los acarnienses* se representaron en las Leneas del 425, es decir, en enero-febrero), pero sí de otra, posterior, en ese mismo año (cf. *supra*). — [28] Súplase (ποιοῦσι τοῦτο). — [29] No se ve la intención: ¿tenía Aristófanes alguna relación familiar con Egina, o había obtenido un lote de tierra allí cuando los atenienses se repartieron la isla?. Literalmente, Aristófanes se nos presenta como un egineta, que quedaría bajo la soberanía espartana (lo que estrictamente tampoco pretendían los espartanos, y si sólo la independencia de Egina). — [30] Súplase (αὐτόν). —[31] Causal; es una promesa de Aristófanes, que equivale a ἃ δίκαιον ἐστὶ κωμῳδῆσαι. — [32] Prometiendo aumentar el salario que se pagaba al pueblo por asistir a la asamblea o a los tribunales. — [33] "Regar" es aquí "cultivar", "adular"; Aristófanes sugiere que todo esto es lo que hace Cleón.

Las ventajas de ser juez

(Avispas 548-630)

En *Las avispas* (representadas probablemente en el 422 a. J. C.), Aristófanes satiriza el encarnizamiento y el poderío de los tribunales atenienses, presentándonos a un viejo heliasta o miembro del jurado, Filocleón, al que sólo con mucha dificultad logra su hijo,

Bdelicleón, convencer para que se quede en casa sin ir al tribunal. Hay en la comedia un fondo político: basta ver que Filocleón significa "amigo de Cleón" (que había elevado a tres óbolos el salario de los heliastas), y Bdelicleón, "enemigo de Cleón". De los tribunales atenienses formaban parte cada año cinco mil ciudadanos más mil suplentes, que juzgaban también los asuntos de las ciudades confederadas y ejercían muchas veces un verdadero poder arbitrario e incontrolado que tenía atemorizados a los ciudadanos ricos. Nuestro fragmento —parte del ἀγών de la comedia, episodio en que disputan los dos personajes centrales —nos cuenta burlescamente los motivos de Filocleón para sentirse satisfecho de su función de miembro del jurado.

ΦΙΛΟΚΛΕΩΝ. Καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων [1] περὶ τῆς ἀρχῆς [2]
[ἀποδείξω
τῆς ἡμετέρας ὡς οὐδεμιᾶς ἥττων ἐστὶν βασιλείας.
Τί γὰρ εὔδαιμον καὶ μακαριστὸν μᾶλλον νῦν ἐστι δικαστοῦ,
ἢ τρυφερώτερον ἢ δεινότερον ζῷον, καὶ ταῦτα [3] γέροντος;
Ὃν πρῶτα μὲν ἔρποντ' [4] ἐξ εὐνῆς τηροῦσ' [5] ἐπὶ τοῖσι δρυ-
[φάκτοις [6]
ἄνδρες μεγάλοι καὶ τετραπήχεις [7]· κἄπειτ' εὐθὺς προσιόντι
ἐμβάλλει μοι τὴν χεῖρ' [8] ἀπαλὴν [9] τῶν δημοσίων [10] κεκλοφυῖαν·
ἱκετεύουσίν θ' ὑποκύπτοντες τὴν φωνὴν οἰκτροχοοῦντες·
«Οἴκτιρόν μ', ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτὸς πώποθ' ὑφεί-
[λου
ἀρχὴν ἄρξας [11] ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων»·

---

[1] Filocleón se compara con el corredor que inicia su carrera. — [2] Es una prolepsis, en cuanto que περὶ τῆς ἀρχῆς ... τῆς ἡμετέρας ("nuestro imperio", el poderío de Atenas) es el sujeto exigido por el sentido para ἐστίν. — [3] "Y eso", "aunque". — [4] Participio temporal. — [5] En el sentido de "esperar". — [6] Es la verja (de madera) del tribunal. — [7] Irónico; son personajes importantes, que acechan la llegada de Filocleón al tribunal para pedirle gracia. — [8] "Me da la mano"; se pasa del plural a singular (como si dijera τις αὐτῶν) para volverse luego a plural. — [9] Adjetivo homérico usado aquí burlescamente. — [10] Genitivo partitivo. — [11] "Cuando desempeñaste un cargo"; los que así suplican están implicados en una εὐθύνης δίκη o rendición de cuentas al cesar en un cargo;

ὃς [12] ἔμ' οὐδ' ἂν ζῶντ' [13] ἤδειν, εἰ μὴ διὰ τὴν προτέραν ἀπό-
[φευξιν [14].

ΒΔΕΛΥΚΛΕΩΝ. Τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τὸ μνημό-
[συνόν μοι [15].

ΦΙ. Εἶτ' [16] εἰσελθὼν ἀντιβοληθεὶς καὶ τὴν ὀργὴν ἀπομορχθεὶς 560
ἔνδον τούτων ὧν ἂν φάσκω [17] πάντων οὐδὲν πεπόηκα,
ἀλλ' ἀκροῶμαι [18] πάσας φωνὰς [19] ἰέντων εἰς ἀπόφευξιν.
Φέρ' ἴδω, τί γὰρ οὐκ ἔστιν [20] ἀκοῦσαι θώπευμ' ἐνταῦθα δι-
[καστῇ;
Οἱ μέν γ' ἀποκλάονται πενίαν αὑτῶν καὶ προστιθέασιν [21]... 564
οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ' Αἰσώπου τι γέλοιον [22]·
οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω καὶ τὸν θυμὸν καταθῶμαι.
Κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδάρι' εὐθὺς ἀνέλκει [23]
τὰς θηλείας καὶ τοὺς υἱεῖς τῆς χειρός, ἐγὼ δ' ἀκροῶμαι·
τὰ δὲ συγκύψαντ' ἀμβληχᾶται [24]· κἄπειθ' ὁ πατὴρ ὑπὲρ αὐτῶν 570
ὥσπερ θεὸν ἀντιβολεῖ με τρέμων τῆς εὐθύνης ἀπολῦσαι...
Χἠμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ' ἀνεῖμεν [25].
Ἆρ' οὐ μεγάλη τοῦτ' ἔστ' ἀρχὴ καὶ τοῦ πλούτου κατα-
[χήνη [26]; 575

ΒΔ. Δεύτερον αὖ σου τουτὶ [27] γράφομαι [28], τὴν τοῦ πλούτου κα-
[ταχήνην'
καὶ τἀγαθά μοι μέμνησ' ἄχεις φάσκων [29] τῆς Ἑλλάδος
[ἄρχειν...

ΦΙ. Κἂν Οἴαγρος [30] εἰσέλθῃ φεύγων [31], οὐκ ἀποφεύγει πρὶν ἂν
[ἡμῖν

Filocleón forma parte del jurado. — [12] Se refiere al que así suplica. — [13] Predicativo: "ni sabría que yo existía". — [14] Ya antes había sido absuelto de otra concusión con ayuda de Filocleón. — [15] Dativo ético: "ahí tenemos...". — [16] Es decir, ya comenzado el juicio. — [17] En el sentido de "prometer". — [18] Rige al genitivo ἰέντων. — [19] "Todos los tonos". — [20] "No es posible". — [21] "Añaden, exageran"; el verso 565 se elimina como interpolado. — [22] Anécdotas sobre la vida de Esopo y anécdotas graciosas en general; no necesariamente fábulas. — [23] Los sube a la tribuna para mover a *compasión*. — [24] "Balan *como corderos*", "lloran". — [25] Comparación con la acción de aflojar la clavija que tensa las cuerdas de la lira. — [26] Porque los ricos se humillan ante el jurado. — [27] "Esta frase". — [28] "Anoto". — [29] "Tú que dices". — [30] Un poeta trágico. — [31] "Es

ἐκ τῆς Νιόβης [32] εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας.
Κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα [33]
ἐν φορβειᾷ [34] τοῖσι δικασταῖς ἔξοδον [35] ηὗλησ' [36] ἀπιοῦσιν.
Κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπί-
[κληρον [37],
κλάειν ἡμεῖς μακρὰ [38] τὴν κεφαλὴν [39] εἰπόντες τῇ διαθήκῃ
καὶ τῇ κόγχῃ [40] τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
ἔδομεν [41] ταύτην [42] ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
Καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων [43] οὐδεμί' ἀρχή.

ΒΔ. Τουτὶ γάρ τοί σε μόνον τούτων ὧν εἴρηκας μακαρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων [44].

Φ1. Ἔτι δ' ἡ βουλὴ χὠ δῆμος ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ
ἐψήφισται [45] τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος Κολακώνυμος [46], ἀσπιδαπο-
[βλής [47],
οὐχὶ προδώσειν ἡμᾶς φασὶν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι.
Κἂν τῷ δήμῳ [48] γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μή
εἴπη τὰ δικαστήρι' ἀφεῖναι [49] πρώτιστα μίαν [50] δικάσαντας [51].

---

juzgado (entra en el tribunal) como acusado". — [32] Una de sus tragedias. — [33] "Como recompensa". — [34] "Con la φορβειά puesta"; se trata de una pieza de cuero que los flautistas se ponían en los labios, sujetándola por detrás de la cabeza. — [35] Un aire para acompañar la salida. — [36] Aoristo gnómico. — [37] Cuando el heredero era una hija, el padre designaba en el testamento aquel de los parientes con el que debía casarse, para que los bienes no salieran de la familia; esta heredera única es la llamada παῖς ἐπίκληρος. — [38] Acusativo adverbial; "decir a alguien que llore mucho" es "enviarle a paseo". — [39] Acusativo de relación: "con su cabeza"; incongruencia cómica. — [40] Concha que se ponía encima del sello de cera para que no se borrase. — [41] Aoristo gnómico. — [42] Falta el antecedente (τῷ ἀνδρί). — [43] Súplase (ἀρχῶν). — [44] Palabra inventada por Aristófanes: "levantando la concha" es aquí tanto como "desatendiendo, contraviniendo". — [45] "Deja decretado", "decreta". — [46] Son dos cobardes atenienses atacados con frecuencia por Aristófanes; el segundo se llama en realidad Κλεώνυμος, deformado por alusión a κόλαξ "adulador". — [47] Crasis. — [48] "Ante la asamblea popular". — [49] Como si dijera τοὺς δικαστὰς ἀφεῖναι, "disolver el jurado". — [50] Súplase (δίκην). — [51] Temporal; concierta con el implícito (τοὺς δικαστάς). A los jurados les convenía no ver más que un

αὐτὸς δὲ Κλέων ὁ Κεκραξιδάμας[52] μόνον ἡμᾶς οὐ περι-
[τρώγει[53],
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων[54] καὶ τὰς μυίας ἀπαμύνει[55].
Σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν[56] τούτων τὸν σαυτοῦ πώποτ'
[ἔδρασας.
Ἀλλὰ Θέωρος —καίτοὐστὶν[57] ἀνὴρ Εὐφημίδου[58] οὐδὲν ἐλάτ-
[των—
τὸν σπόγγον ἔχων ἐκ τῆς λεκάνης[59] τἀμβάδι' ἡμῶν περικωνεῖ. 600
Σκέψαι δ' ἀπὸ τῶν ἀγαθῶν οἷων ‹μ'› ἀποκλείεις καὶ κατερύ-
[κεις,
ἣν δουλείαν[60] οὖσαν ἔφασκες καὶ ὑπηρεσίαν ἀποδείξειν...
Ὃ δέ γ' ἥδιστον τούτων[61] ἐστὶν πάντων, οὗ 'γὼ 'πελελή-
[σμην[62], 605
ὅταν οἰκαδ' ἴω τὸν μισθὸν ἔχων, κἄπειθ' ἥκοντά με πάντες
ἀσπάζονται διὰ τἀργύριον[63], καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προσκύψασα φιλήσῃ
καὶ παππίζουσ' ἅμα[64] τῇ γλώττῃ[65] ‹τὸ› τριώβολον ἔκκαλα-
[μᾶται,
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν φυστὴν μᾶζαν προσενέγκῃ, 610
κἄπειτα καθεζομένη[66] παρ' ἐμοὶ προσαναγκάζῃ· «Φάγε τουτί,
ἔντραγε τουτί». Τούτοισιν ἐγὼ γάνυμαι, κού μή με[67] δεήσῃ

juicio por sesión para multiplicar así sus ingresos. — [52] Epíteto burlesco, "gritador", forjado por Aristófanes sobre otros en -δάμας ('Αλκιδάμας, etc.); alude a la oratoria de Cleón. — [53] Como un queso o un pan (alusión a la corrupción de Cleón). — [54] Les lleva de la mano. — [55] "Nos espanta las moscas". — [56] "Nada". — [57] Igual a καίτοι ἐστί. — [58] Según el escoliasta, un conocido adulador y calumniador; como Teoro, es por lo demás desconocido. — [59] "(Cogida) de la vasija"; es decir, unta la esponja en betún para limpiar las sandalias de Filocleón. — [60] Igual a ἃ δουλείαν ὄντα, dependiente de ἀποδείξειν construído con participio predicativo; ἃ y ὄντα están atraídos al género de su predicado δουλείαν. — [61] Genitivo partitivo. — [62] Súplase (ἐστίν). — [63] Es el salario que se pagaba a los heliastas o jurados en Atenas. — [64] Referido a παππίζουσα para indicar la simultaneidad. — [65] Instrumental; se refiere a la costumbre popular en Atenas de llevar las monedas en la boca. — [66] Referido a γύναιον con concordancia *ad sensum* (como si dijera ἡ γυνή). — [67] Como si dijera οὗ με δεῖ (οὐ μή con subjuntivo es "no hay cuidado de que)". —

εἰς σὲ βλέψαι [68] καὶ τὸν ταμίαν [69], ὁπότ' ἄριστον παραθήσει
καταρασάμενος καὶ τονθορύσας, ἄλλην [70] μή [71] μοι ταχὺ μάξῃ.
Τάδε [72] κέκτημαι πρόβλημα κακῶν, σκευὴν βελέων ἀλεω-
[ρήν [73].
Κἂν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν [74], τὸν ὄνον [75] τόνδ' εἰσκεκό-
[μισμαι
οἴνου μεστόν, κᾆτ' ἐγχέομαι κλίνας· οὗτος δὲ κεχηνὼς
βρωμησάμενος [76] τοῦ σοῦ δίνου [77] μέγα καὶ στράτιον [78] κατέ-
[παρδεν.
Ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω καὶ τοῦ Διὸς [79] οὐδὲν ἐλάττω,
ὅστις ἀκούω ταῦθ' [80] ἅπερ ὁ Ζεὺς [81];
Ἤν γοῦν ἡμεῖς [82] θορυβήσωμεν,
πᾶς τις φησιν τῶν παριόντων·
«Οἷον βροντᾷ τὸ δικαστήριον,
ὦ Ζεῦ βασιλεῦ».
Κἂν ἀστράψω, ποππύζουσιν [83]
κἀγκεχόδασίν [84] μ' οἱ πλουτοῦντες
καὶ πάνυ σεμνοί.
Καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός·
νὴ τὴν Δήμητρα, δέδοικας. Ἐγὼ δ'
ἀπολοίμην εἰ σὲ δέδοικα.

---

[68] "Mirarte (preguntándome)". — [69] El esclavo despensero. — [70] Súplase (μᾶζαν). — [71] "(Con miedo) de". — [72] "Esto", es decir, su calidad de juez. — [73] Expresiones épicas usadas aquí paródicamente. — [74] Depende de ἐγχῇς, "eches para beber", es un infinitivo con verbo de movimiento. — [75] No es un "asno", sino un vaso muy grande con dos asas, que Filocleón enseña al público. — [76] A continuación Filocleón habla de su vaso como de un auténtico asno. — [77] Depende de κατέπαρδε (aoristo gnómico). — [78] Acusativos adverbiales. — [79] Igual a τῆς τοῦ Διός (comparación abreviada). — [80] Igual a τὰ αὐτά. — [81] Es decir, iguales elogios que Zeus. — [82] Los jurados en el tribunal. — [83] Se hacía así por miedo cuando relampagueaba, según el escoliasta. — [84] Utilizado como sinónimo de δεδοίκασι "temen" y construído así transitivamente.

El juicio de los perros

(Avispas 891-1007)

Para olvidar los juicios públicos a los que asistía como miembro del jurado y a los que Bdelicleón no le deja concurrir, Filocleón somete a juicio a un perro, Labes, acusado por otro perro de haber robado un queso siciliano. Los canes representan respectivamente al general Laques y a Cleón. El primero, que había tomado parte en una campaña ateniense en Sicilia, es acusado por el segundo de haberse quedado con el dinero de los soldados y haber expoliado a las ciudades sicilianas. Aristófanes le defiende hasta cierto punto y ataca la costumbre de Filocleón, y del propio Cleón, de condenar sin pruebas, aunque en realidad no niega las acusaciones.

ΒΔΕΛΥΚΛΕΩΝ. Εἴ τις θύρασιν ἡλιαστής, εἰσίτω·
ὡς ἡνίκ' ἂν λέγωσιν [1], οὐκ εἰσφρήσομεν.
ΦΙΛΟΚΛΕΩΝ. Τίς ἆρ' ὁ φεύγων [2];
ΒΔ. Οὗτος.
ΦΙ. Ὅσον ἁλώσεται [3].
ΒΔ. Ἀκούετ' ἤδη τῆς γραφῆς [4]· «Ἐγράψατο
Κύων Κυδαθηναιεὺς Λάβητ' [5] Αἰξωνέα [6] 895
τὸν τυρὸν [7] ἀδικεῖν ὅτι μόνος [8] κατήσθιεν
τὸν Σικελικόν. Τίμημα [9] κλῳὸς σύκινος [10]».
ΦΙ. Θάνατος μὲν οὖν κύνειος [11], ἢν ἅπαξ ἁλῷ.
ΒΔ. Καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα [12].
ΦΙ. Ὦ μιαρὸς οὗτος· ὡς δὲ καὶ κλέπτον [13] βλέπει, 900

---

[1] Sujeto, el acusador y el acusado. — [2] El acusado. — [3] Exclamación aparte: "¡cómo va a ser condenado!". — [4] "Acusación"; γράφεσθαι es "acusar". — [5] Sujeto de ἀδικεῖν. — [6] Se indican los demos de los dos perros, correspondientes a los de Cleón y Laques, respectivamente. — [7] Es riqueza característica de Sicilia; complemento de κατήσθιε. — [8] Es decir, sin dejar parte a Cleón. — [9] El acusador puede pedir la pena, e igual el acusado si se reconoce culpable. — [10] Alusión a la palabra συκοφάντης, "delator". — [11] Metafóricamente "horrible"; el chiste está en que aquí se trata de un perro. — [12] Igual a πάρεστι (uso adverbial con elipsis de ἔστι). — [13] Acusativo interno (el complemento

οἷον[14] σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
Ποῦ δ' ⟨αὖ⟩ ὁ διώκων[15], ὁ Κυδαθηναιεὺς Κύων;
ΚΥΩΝ. Αὖ αὖ[16].
ΒΔ. Πάρεστιν.
ΦΙ. Ἕτερος οὗτος αὖ Λάβης[17].
ΒΔ. Ἀγαθός γ' ὑλακτεῖν —
ΦΙ. καὶ διαλείχειν τὰς χύτρας.
ΒΔ. Σίγα[18], κάθιζε· σὺ δ' ἀναβὰς[19] κατηγόρει.
ΦΙ. Φέρε νυν, ἅμα[20] τηνδ'[21] ἐγχεάμενος[22] κἀγὼ ῥοφῶ[23].
ΚΥ. Τῆς μὲν γραμῆς ἠκούσαθ' ἣν ἐγραψάμην,
ἄνδρες δικασταί, τουτονί. Δεινότατα γὰρ
ἔργων δέδρακε κἀμὲ καὶ τὸ ῥυπαπαῖ.
Ἀποδρὰς γὰρ εἰς τὴν γωνίαν τυρὸν πολὺν
κατεσικέλιζε[24] κἀνέπλητ' ἐν τῷ σκότῳ—
ΦΙ. Νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐστ'· ἔμοιγέ τοι
τυροῦ[25] κάκιστον[26] ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος.
ΚΥ. κοὐ μετέδωκ' αἰτοῦντί μοι.
Καίτοι τίς ὑμᾶς εὖ ποεῖν δυνήσεται,
ἢν μή τι[27] κἀμοί τις προβάλλῃ, τῷ Κυνί;
ΦΙ. Οὐδὲν μετέδωκεν οὐδὲ τῷ κοινῷ γ', ἐμοί.
Θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.

---

directo puede faltar y el adjetivo, aquí participio, que le califica, usarse en género neutro); equivale a una expresión adverbial: "mira" (nosotros diríamos "huele") "a robo". — [14] Adverbial. — [15] "El acusador". — [16] Imitación del ladrido. — [17] Bdelicleón inicia la defensa de Labes (Laques); pero Filocleón le interrumpe aludiendo a su real o supuesta avidez de dinero público. — [18] Se dirige al perro-Cleón. — [19] "Subiendo a la tribuna". — [20] "Mientras tanto". — [21] Se refiere al puré de lentejas (φακῆ) que estaba puesto a la lumbre en la cocina donde se celebra el juicio (cf. v. 918). — [22] "Sirviéndome". — [23] Subjuntivo voluntativo. — [24] Cómico por τυρὸν Σικελικὸν κατήσθιε; el "queso" siciliano consiste en las soldadas con que supuestamente se quedó y que estaban destinadas a los tripulantes de la flota. — [25] Genitivo con un verbo ἐνήρυγε que implica la idea de "oler". — [26] Adverbio. — [27] "(Del dinero público)"; Cleón

ΒΔ. Πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἂν γ' ἀκούῃς ἀμφοτέρων [28].
ΦΙ. Ἀλλ', ὠγαθέ, 920
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ.
ΚΥ. Μὴ νυν ἀφῆτέ γ' αὐτόν, ὡς ὄντ' ἀῦ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ
ἐκ τῶν πόλεων τὸ σκῖρον ἐξεδήδοκεν [29]. 925
ΦΙ. Ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι [30].
ΚΥ. Πρὸς ταῦτα τοῦτον κολάσατ'· — οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο [31]· —
ἵνα μὴ κεκλάγγω διὰ κενῆς ἄλλως [32] ἐγώ·
ἐὰν δὲ μή — τὸ λοιπὸν οὐ κεκλάγξομαι. 930
ΦΙ. Ἰοὺ ἰού.
Ὅσας κατηγόρησε τὰς πανουργίας.
Κλέπτον τὸ χρῆμα τἀνδρός [33]· οὐ καὶ σοὶ δοκεῖ,
ὠλεκτρυῶν [34]; Νὴ τὸν Δί', ἐπιμύει γέ τοι.
Ὁ θεσμοθέτης [35]· ποῦ 'σθ' οὗτος; Ἀμίδα μοι δότω. 935
ΒΔ. Αὐτὸς καθελοῦ· τοὺς μάρτυρας γὰρ εἰσκαλῶ.
Λάβητι [36] μάρτυρας παρεῖναι [37] τρύβλιον,
δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκλημένα.
Ἀλλ' ἔτι σύ [38] γ' οὐρεῖς καὶ καθίζεις οὐδέπω; 940

---

no hace partícipes de sus robos ni siquiera a sus amigos. — [28] Recuerda el juramento de los miembros del jurado. — [29] Se mezclan las descripciones de Laques navegando de ciudad en ciudad y despojándolas y del perro que, en la cocina, coge una corteza de queso del mortero. — [30] Es decir, no le queda queso ni para componer una hidria agujereada (mascándolo y pegándolo). — [31] El refrán dice δύο ἐριθάκους, "dos petirrojos". — [32] "En vano"; alude a la oratoria violenta de Cleón. — [33] Expresión popular: τὸ χρῆμα τοῦ ἀνδρός por ἀνήρ. — [34] En la cocina en que se celebra el juicio hay un gallo. — [35] Se dirige a Bdelicleón, que figura como tesmóteta, el magistrado que presidía el juicio, al que Filocleón ofende con su petición. — [36] "A favor de Labes". — [37] Infinitivo imperativo. — [38] Se dirige a Filocleón, que continúa orinando; los "testigos"

ΦΙ. Τοῦτον[39] δέ γ' οἶμ' ἐγὼ χεσεῖσθαι[40] τήμερον.
ΒΔ. Οὐκ αὖ σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,
καὶ ταῦτα τοῖς φεύγουσιν[41], ἀλλ' ὁδὰξ ἔχει;
'Ανάβαιν'[42], ἀπολογοῦ. Τί σεσιώπηκας; Λέγε.
ΦΙ. 'Αλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.
ΒΔ. Οὔκ, ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης[43]·
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
Πάρεχ'[44] ἐκποδών· ἐγὼ γὰρ ἀπολογήσομαι.
Χαλεπὸν μέν, ὦνδρές, ἐστι διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός, λέξω δ' ὅμως.
'Αγαθὸς γάρ ἐστι καὶ διώκει τοὺς λύκους.
ΦΙ. Κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης[45].
ΒΔ. Μὰ Δί' ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
ΦΙ. Τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
ΒΔ. Ὅ τι; σοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν
καὶ τἄλλ' ἄριστός ἐστιν· εἰ δ' ὑφείλετο,
σύγγνωθι· κιθαρίζειν γὰρ οὐκ ἐπίσταται[46].
ΦΙ. Ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα[47],
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον[48].
ΒΔ. Ἄκουσον, ὦ δαιμόνιέ, μου τῶν μαρτύρων.
'Ανάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα·
σὺ γὰρ ταμιεύουσ'[49] ἔτυχες. 'Απόκριναι σαφῶς,

---

son útiles de cocina representados por actores. — [39] Aparte, refiriéndose al perro. — [40] Expresión popular para indicar que el can va a perder el juicio. — [41] "Para los acusados", pero manteniendo la imagen de la huída y de la persecución por el perro. — [42] A Labes: "sube" (al estrado). — [43] No el historiador, sino el hijo de Melesias, político del partido aristocrático que sufrió el ostracismo y a su vuelta fue perseguido judicialmente (cf. *Acarn.* 703 ss.). — [44] A Labes; a continuación, éste baja del estrado y sube Bdelicleón, que hace de συνήγορος o abogado. — [45] Acusación habitual contra el partido aristocrático. — [46] Es decir, no tiene otro recurso para ganarse la vida. — [47] Súplase (ἐπίστασθαι). — [48] "Nos rindiera cuentas"; alude a la rendición de cuentas que debía dar por escrito todo magistrado al cesar en su cargo. — [49] El rallador es equiparado al ταμίας o

εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἄλαβες.
Φησὶ κατακνῆσαι.

ΦΙ. Νὴ Δί', ἀλλὰ ψεύδεται.

ΒΔ. Ὦ δαιμόνι', ἐλέει τοὺς ταλαιπωρουμένους.
Οὗτος γὰρ ὁ Λάβης καὶ τραχήλι' [50] ἐσθίει
καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταὐτῷ μένει.
Ὁ δ' ἕτερος [51], οἷός ἐστιν, οἰκουρὸς μόνον·
αὐτοῦ μένων γὰρ ἄττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.

ΦΙ. Αἰβοῖ. Τί τὸ κακόν; Ἔσθ' ὅτῳ μαλάττομαι·
κακόν τι περιβαίνει με κἀναπείθομαι.

ΒΔ. Ἴθ', ἀντιβολῶ σ', οἰκτίρατ' αὐτόν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. Ποῦ τὰ παιδία [52];
Ἀναβαίνετ', ὦ πόνηρα καὶ κνυζούμενα,
αἰτεῖσθε κἀντιβολεῖτε καὶ δακρύετε.

ΦΙ. Κατάβα, κατάβα, κατάβα, ‹κατάβα›.

ΒΔ. Καταβήσομαι.
Καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτησεν [53]. Ἀτὰρ ὅμως καταβήσομαι.

ΦΙ. Ἐς κόρακας [54]. Ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
Ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν [55]
οὐδέν ποτ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος [56].

ΒΔ. Οὔκουν ἀποφεύγει δῆτα;

ΦΙ. Χαλεπὸν εἰδέναι.

ΒΔ. Ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
Τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον [57]
μύσας παρᾷξον κἀπόλυσον, ὦ πάτερ.

ΦΙ. Οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.

---

tesorero del ejército. — [50] "Cabezas" (de pescado). — [51] El perro-Cleón. — [52] Satiriza la costumbre de los acusados en Atenas de llevar a sus niños ante el tribunal para inspirar compasión. — [53] Es decir, muchos, invitados a bajar del tribunal, han creído erróneamente que la sentencia sería absolutoria. — [54] "A los cuervos", fórmula de maldición. — [55] Acusativo de relación: "en mi opinión". — [56] Con valor causal. — [57] Súplase (καδίσκον); la "segunda urna"

ΒΔ. Φέρε νύν σε τῃδὶ τὴν ταχίστην περιάγω [58].
ΦΙ. Ὅδ' ἔσθ' ὁ πρότερος;
ΒΔ. Οὗτος.
ΦΙ. Αὕτη [59] 'νταῦθ' ἔνι.
ΒΔ. Ἐξηπάτηται κἀπολέλυκεν οὐχ ἑκών.
Φέρ' ἐξεράσω.
ΦΙ. Πῶς ἄρ' ἠγωνίσμεθα [60];
ΒΔ. Δείξειν ἔοικεν [61]. Ἐκπέφευγας, ὦ Λάβης.
Πάτερ, πάτερ, τί πέπονθας; Οἴμοι· ποῦ 'σθ' ὕδωρ;
Ἔπαιρε σαυτόν.
ΦΙ. Εἰπέ νυν ἐκεῖνό μοι
ὄντως ἀπέφυγε;
ΒΔ. Νὴ Δί'.
ΦΙ. Οὐδέν εἰμ' ἄρα.
ΒΔ. Μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
ΦΙ. Πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι [62],
φεύγοντ' ἀπολύσας ἄνδρα; Τί ποτε πείσομαι;
Ἀλλ', ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὖτ' ἔδρασα κοὐ τοὐμοῦ τρόπου.
ΒΔ. Καὶ μηδὲν ἀγανάκτει γ'. Ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,
ἐπὶ δεῖπνόν, εἰς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
κούκ ἐγχανεῖταί σ' ἐξαπατῶν Ὑπέρβολος.

---

es aquella en que se depositan los votos favorables al reo. — [58] Subjuntivo voluntativo; Bdelicleón le hace dar la vuelta a la mesa y le lleva ante la segunda urna que él, engañado, toma por la primera. — [59] Súplase (ἡ ψῆφος); Filocleón deposita su voto. — [60] Filocleón habla como si él fuera parte en el juicio ("¿qué resultado hemos obtenido?"). — [61] Impersonal: "ello va a mostrarlo" (Filocleón vuelca las urnas). — [62] "Tendré conciencia", "me perdonaré".

Rejuvenecimiento del pueblo

(Caballeros 1335-1383)

Los caballeros, que se representó el año 424, es un violento ataque contra Cleón, presentado como adulador del pueblo (personificado en Demo) y usurpador de los méritos de los generales Nicias y Demóstenes. Aristófanes le opone la figura del choricero Agorácrito, aún más tramposo e ignorante que Cleón, a quien logra suplantar en el favor popular. Al final de la comedia, en la escena que presentamos, el choricero ha rejuvenecido a Demo (parodia del rejuvenecimiento mítico de Esón por Medea) mediante una cocción, con lo que vuelve a lo que era en los viejos tiempos de Temístocles.

ΔΗΜΟΣ. Ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', Ἀγοράκριτε.
Ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας [1].
ΑΛΛΑΝΤΟΠΩΛΗΣ. Ἐγώ;
Ἀλλ', ὦ μέλ', οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος [2],
οὐδ' οἷ' ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
ΔΗ. Τί δ' ἔδρων πρὸ τοῦ, κάτειπε, καὶ ποῖός τις ἦν;
ΑΛ. Πρῶτον μέν, ὁπότ' εἴποι τις ἐν τῇ ἐκκλησίᾳ·
«Ὦ Δῆμ', ἐραστής εἰμι σὸς φιλῶ τέ σε
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος»,
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες κἀκερουτίας [3].
ΔΗ. Ἐγώ;
ΑΛ. Εἶτ' ἐξαπατήσας ὀ' ἀντὶ τούτων ᾤχετο.
ΔΗ. Τί φῄς;
Ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ἠσθόμην;
ΑΛ. Τὰ γὰρ ὦτά σου, νὴ ‹τὸν› Δί', ἐξεπετάννυτο
ὥσπερ σκιάδειον καὶ πάλιν ξυνήγετο [4].

---

[1] Participio de aoristo de ἀφέψω. — [2] Antes del rejuvenecimiento, cuando se dejaba engañar por los demagogos. — [3] Manifestaba su alegría como un pájaro o un toro. — [4] Según le dijeran cosas agradables o desagradables. —

ΔΗ. Οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
ΑΛ. Καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,
ὁ μὲν ποεῖσθαι ναῦς μακράς, ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι [5] τοῦθ', ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν [6] ἂν ᾤχετο [7].
Οὗτος, τί κύπτεις; Οὐχὶ κατὰ χώραν μενεῖς;
ΔΗ. Αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
ΑΛ. Ἀλλ' οὐ σύ τούτων αἴτιος, μὴ φροντίσῃς,
ἀλλ' οἱ σε ταῦτ' ἐξηπάτων. Νῦν δὴ φράσον·
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος [8]·
«Οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην»,
τοῦτον τί δράσεις, εἰπέ, τὸν ξυνήγορον;
ΔΗ. Ἆρας μετέωρον εἰς τὸ βάραθρον [9] ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
ΑΛ. Τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶς πολιτεύσει; Φράσον.
ΔΗ. Πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακράς,
καταγομένοις [10] τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
ΑΛ. Πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.
ΔΗ. Ἔπειθ' ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ [11]
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται [12],
ἀλλ' οὔπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
ΑΛ. Τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου [13].
ΔΗ. Οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
ΑΛ. Ποῦ δῆτα Κλεισθένης [14] ἀγοράσει καὶ Στράτων;

---

[5] "Gastar esto en salarios" (de los jurados, asistentes a la asamblea, etc.; en definitiva, de los propios votantes). — [6] "Venciendo", con metáfora agonal. — [7] Iterativo, no irreal. — [8] Es el amigo que habla a favor del acusador o acusado; como se ve, el choricero alude ahora a la actuación del pueblo en los tribunales. — [9] Barranco adonde se arrojaban los cadáveres de los criminales; aquí, en vez de una piedra se les ata el demagogo Hipérbolo. — [10] Temporal. — [11] Lista oficial de participantes en una expedición militar. — [12] Por intriga o influencia. — [13] Cleónimo (cf. n. 46 de pág. 140) se habría hecho borrar de un κατάλογος. — [14] Atacado repetidas veces como afeminado. — [15] "En el mer-

ΔΗ. Τὰ μειράκια ταυτὶ λέγω, τὰν τῷ μύρῳ [15], 1375
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα·
«Σοφός γ' ὁ Φαίαξ [16] δεξιῶς τ' οὐκ ἀπέθανεν.
Συνερτικός [17] γάρ ἐστι καὶ περαντικός,
καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικός,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ». 1380
ΑΛ. Οὔκουν καταδακτυλικὸς [18] σὺ τοῦ λαλητικοῦ;
ΔΗ. Μά Δί', ἀλλ' ἀναγκάσω κυνηγετεῖν [19] ἐγὼ
τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.

---

cado de ungüentos"; se refiere a los discípulos de sofistas y filósofos, cuyo afeminamiento se nota en los lugares que frecuentan y en el lenguaje, parodiado a continuación. — [16] Un político de la época, rival de Alcibíades, el cual parece deducirse que eludió mediante alguna habilidad una condena capital. — [17] Se extiende el sufijo -ικός en mayor grado aún que en los sofistas, que lo empleaban para indicar capacidad o relación. — [18] Implica un gesto ultrajante e indecoroso. — [19] Para que adquieran vigor; los sofistas son tratados de débiles y afeminados.

LISIAS

Lisias era hijo del siracusano Céfalo, establecido en Atenas como meteco o extranjero domiciliado y propietario allí de prósperos negocios. El orador debió de nacer hacia el 444 ó 443 a. J. C.; pasó, siendo muy joven, una larga temporada en la colonia suritálica de Turios y, expulsado de allí por motivos políticos, volvió a Atenas para dedicarse a estudios retóricos y ocuparse de las fábricas heredadas de su difunto padre. Allí le sorprendió la persecución de los Treinta Tiranos, que dieron muerte a su hermano y ante los cuales tuvo que expatriarse; y allí murió, a los ochenta años de edad próximamente, después de una vida poco accidentada.

Como consecuencia de la acusación contra Eratóstenes, uno de los causantes de la muerte de su hermano Polemarco, tuvo por fuerza Lisias que comparecer personalmente, como era costumbre en Atenas, ante los tribunales; y, aunque no parece que lograra la condena de su adversario, sí obtuvo un gran éxito literario que le animó a dedicarse en lo sucesivo a actividades logográficas, es decir, a escribir discursos para ser pronunciados por gente poco experta en el arte retórica. Conservamos muchos de estos discursos, escritos para los más variados tipos de proceso, de entre los que merecen especial mención los llamados *Defensa de la muerte de Eratóstenes, Defensa con respecto al cercado, Contra Agórato por una denuncia, Defensa de Mantiteo examinado*

ante el consejo, Sobre los bienes de Aristófanes ante el fisco y *Ante la propuesta para que no se dé dinero al inválido*. En ellos resaltan, con la más impecable pureza y elegancia de lenguaje, una especial habilidad para presentar, por medio de cada alocución, el carácter y cualidades de la persona que habla. Lisias, menos pulido que Isócrates y menos genial que Demóstenes, ofrece un encanto peculiar e indefinible que le ha hecho hasta hoy el predilecto de las escuelas y uno de los más leídos de entre los autores griegos.

Menos importancia tienen, en cambio, otras oraciones de tipo retórico-epidíctico, como el *Discurso fúnebre en honor de los que auxiliaron a los corintios*, pronunciado en la fiesta anual con que se conmemoraba a los atenienses caídos en la guerra, o de carácter político, como el *Olimpíaco*, con que, en Olimpia, intentó excitar los ánimos de los helenos contra Persia y la tiranía de Dionisio de Siracusa y fomentar el espíritu de unión entre ellos.

Discurso contra Eratóstenes (XII)

Para entender mejor el discurso *Contra Eratóstenes*, que lleva el número XII en la colección de los de Lisias, hay que tener en cuenta la siguiente lista cronológica de los agitados acontecimientos desarrollados en Atenas a finales del siglo v a. J. C., durante los últimos años de la guerra del Peloponeso:

Ante la derrota sufrida en Sicilia, es nombrada una comisión de diez probulos o miembros de un Comité directivo, entre los que figura Hagnón, padre de Terámenes. Estos probulos (años 413-412) parece que contribuyeron a preparar la instauración de la primera oligarquía (párrafo 65). Poco antes de mayo del 411, Eratóstenes, miembro de una sociedad oligárquica, parte para el Helesponto con el fin de sembrar el desconcierto entre el ejército de allí y, fracasado su plan, huye a Atenas (42). En mayo del mismo año, los oligarcas, dirigidos por Pisandro, Antifonte y Terámenes, instauran el régimen llamado de los Cuatrocientos, y el último es nombrado estratego o general (65). En el mismo verano, Terámenes y el taxiarco Aristócrates provocan una escisión de los Cuatrocientos frente a los exaltados Pisandro, Frínico, Antifonte y Calescro (66). En otoño, derrocado ya el régimen, los estrategos, entre ellos Terámenes, acusan a Antifonte y Arqueptólemo, que son condenados a muerte (67).

En agosto del 406, los atenienses vencen en la batalla de las Arginusas, pero los generales son juzgados, condenados y ejecutados por no haber recogido a los náufragos que cayeron en ella (36).

En verano del 405, Atenas es derrotada por Esparta en la batalla de Egospótamos (43). Ante esta derrota, las sociedades oligárquicas adquieren nueva pujanza, y se unen varias de ellas para constituir una junta secreta de cinco miembros llamados éforos, entre los que

figuran Eratóstenes y quizá Critias (43, 76). Esta junta designa un representante o filarco en cada una de las diez tribus (44).

A principios del 404, Terámenes consigue que se le envíe a Esparta en misión de paz, a pesar de que el Areópago (69) está haciendo gestiones por su parte. Para forzar al pueblo a aceptar las condiciones que imponga el enemigo, demora intencionadamente su regreso hasta el mes de abril, mientras en Atenas aumentan cada día el hambre y el desorden. Hace muchas promesas, se muestra optimista y es enviado nuevamente a Esparta con otros embajadores. Los espartanos imponen condiciones muy duras: demolición de las fortificaciones (40, 63, 70), entrega de las naves, readmisión de los oligarcas desterrados (77), etc, (sobre todo ello, cf. 68-70). El 22 de abril del 404, los espartanos entran en Atenas. Lisandro, el conquistador de la ciudad, marcha a dirigir el asedio de Samos. Terámenes no juzga oportuno llevar adelante los planes oligárquicos mientras aquél no esté presente (71). A principios de verano, llegado Lisandro, se convoca una asamblea en que, a propuesta de Dracóntides, es nombrada una comisión de treinta ciudadanos para ejercer poder dictatorial. De ellos forman parte Eratóstenes, Fidón (54), Melobio (12), Teognis y Pisón (6), Critias, Terámenes, Dracóntides, Mnesitides (12), etc. (cf. 72-76). Los Treinta adoptan una serie de medidas enérgicas (5) inspiradas en parte por un sano deseo de depurar la ciudad, pero encaminadas también a suprimir enemigos políticos. Emprenden igualmente ciertas reformas legislativas.

En otoño del 404 aparecen fisuras entre el grupo de Terámenes, que consideraba el gobierno oligárquico como pasajero estado de excepción en el camino hacia un régimen autoritario moderado, y la pandilla exaltada de Critias, cada vez más inclinada hacia el terrorismo, la arbitrariedad y la rapiña. Actúan sin cesar los sicofantas o delatores, entre los que descuellan Bátraco y Esquílides (48). Los extremistas traen a la Acrópolis una guarnición espartana mandada por Calibio (94).

Los Treinta traman una conspiración contra los metecos. Eratóstenes es encargado de detener a Polemarco; éste es apresado y ejecutado en Atenas. Lisias, después de muchas peripecias, consigue huir del Pireo a Mégara (6-20).

Terámenes rompe con Critias (77) y es ejecutado, a fin de otoño, tras un proceso en que le defiende Eratóstenes (50).

Los demócratas desterrados, a quienes acaudilla Trasibulo, se apoderan en diciembre de la aldea de File (52). Los Treinta hacen una matanza de ciudadanos en Salamina y Eleusis, que quieren tener seguras por si han de utilizarlas como refugio frente al avance democrático (52). Los demócratas vencen en la batalla de Muniquia, donde muere Critias, y se apoderan del Pireo (53). Lisias acude a unirse a ellos. Es derrocado el régimen de los Treinta, a principios del 403. Estos huyen a Eleusis, excepto Eratóstenes y Fidón. Se nombra una comisión de los Diez, entre los que figura éste último, para que entable negociaciones de paz; pero esta comisión, contra lo que esperaban algunos, se mantiene independiente con respecto a los gobiernos de Eleusis y el Pireo y pide auxilio a Esparta (54-61). El rey espartano Pausanias, a diferencia de Lisandro, desea una reconciliación sincera de los partidos. Al intervenir él, los Diez son sustituídos por otros Diez menos antidemocráticos (60). Se firma al fin, en agosto del 403, la paz entre los de Atenas y los del Pireo, con cláusula de amnistía, de la que quedan excluídos los Treinta, los Once (encargados del régimen penal), los primeros Diez y otros Diez que, desde un principio, habían sido designados para administrar el Pireo; pero todos podían beneficiarse de ella presentándose a rendir cuentas ante el pueblo de sus actuaciones.

Esto hizo Eratóstenes, al parecer en el año 403, cuando juzgó llegado el momento de legalizar su situación personal y política amparándose en el hecho de que, como se ha visto, su postura entre los Treinta fue relativamente moderada. Por otra parte, el clima parecía propicio a su reivindicación, pues se había formado una coalición de algunos de los demócratas triunfadores, como Trasibulo, y otros elementos, como Arquino, Ánito y Formisio, que habían formado parte de la tendencia oligárquica no extremista; y, en el clima de unidad nacional que esta agrupación representaba, parecía llamada a fracasar cualquier iniciativa que enconara las pasiones con tanto trabajo acalladas. Pero, frente a este modo de pensar, los demócratas extremistas, como Lisias, reclamaban venganza de las persecuciones sufridas y se esforzaban por impedir que la muerte de Terámenes a manos de Critias convirtiera a éste, tan culpable como su colega de los males del país, en una especie de héroe nacional, y a sus secuaces, como Eratóstenes, en dignos de encomio y conmiseración. Es dudoso, sin embargo, que Eratóstenes fuera condenado; pero el proceso fue causa afortunada de que se nos haya transmitido una de las obras maestras de la elocuencia ática.

1 Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταί, τῆς κατηγορίας[1], ἀλλὰ παύσασθαι λέγοντι[2]· τοιαῦτα αὐτοῖς τὸ μέγεθος[3] καὶ τοσαῦτα τὸ πλῆθος[3] εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα[4] τῶν ὑπαρχόντων κατηγορῆσαι[5], μήτε τἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι[6], ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον
2 ἀπειπεῖν ἢ τὸν χρόνον ἐπιλιπεῖν. Τοὐναντίον δέ μοι δοκοῦμεν πεῖσεσθαι ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. Πρότερον[7] μὲν γὰρ ἔδει τὴν ἔχθραν[8] τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας[9]· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. Οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας
3 οὔσης[10] ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. Ἐγὼ μέν οὖν, ὦ ἄνδρες δικασταί, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας[11] νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου[12] κατηγορεῖν, ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι[13]· ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων[14] διδάξαι.
4 Οὑμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι, ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα οὔτε ἐφύγομεν, ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι[15] ὥστε μήτε εἰς τοὺς ἄλλους
5 ἐξαμαρτάνειν μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. Ἐπειδὴ δ' οἱ τριάκοντα πονηροὶ καὶ συκοφάνται ὄντες εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι, τοι-

---

[1] Genitivo con verbos de "empezar". — [2] "De hablar". — [3] Acusativo de relación. — [4] Acusativo interno. — [5] "Podría (uno) acusar(les)". — [6] Unase también a ἄν. — [7] "Hasta ahora". — [8] Prolepsis. — [9] Para los griegos resultaba vergonzoso el promover un proceso por afán de lucro o por afición a los litigios, pero no el hacerlo por vengarse de un enemigo personal. — [10] "En la idea de que todos tenemos muchos motivos para". — [11] Es un mérito el no haber tenido antes ninguna clase de tratos con la justicia. — [12] Genitivo con verbos de "acusar". — [13] "No fuera que hiciera". — [14] "Con las menos palabras que pueda". —

αὖτα λέγοντες[16] οὐ τοιαῦτα ποιεῖν ἐτόλμων[17], ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσαι πειράσομαι. Θέογνις γάρ καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ 6
τῶν μετοίκων, ὡς εἴέν τινες τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι[18] πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν[19], τῷ δ' ἔργῳ χρηματίζεσθαι· πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι[18], τὴν ‹δ'› ἀρχὴν δεῖσθαι[18] χρημάτων. Καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον· ἀποκτιννύναι μὲν γάρ ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο[20], λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο[21]. Ἔδοξεν[22] οὖν αὐτοῖς 7
δέκα συλλαβεῖν, τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ἦ πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς[23] οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα[24] τῇ πολιτείᾳ γεγένηται, ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες[25]. Διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον· καὶ ἐμὲ 8
μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες τὰ ἀνδράποδα ἀπεγράφοντο. Ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων εἰ βούλοιτό με σῶσαι χρήματα λαβών· ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. Εἶπον οὖν ὅτι 9
τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι· ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν[26]. Ἠπιστάμην μὲν οὖν ὅτι οὔτε θεοὺς οὔτ' ἀνθρώπους νομίζει, ὅμως δ' ἐκ τῶν παρόντων[27] ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. Ἐπειδὴ δὲ ὤμοσεν, ἐξώλειαν 10
ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος[28], λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι· Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. Ἐπεὶ δὲ οὐχ ὅσον 11
ὡμολόγησα εἶχεν[29], ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀργυ-

---

[15] "En *tiempos de la democracia*". — [16] *Concesivo*. — [17] "Se resignaron". — [18] Sigue dependiendo de ἔλεγον. — [19] En griego se dice "era un magnífico pretexto el parecer..." — [20] "No le daban importancia ninguna al matar". — [21] "Se la daban muy grande al...". — [22] "(Oportuno)". — [23] Para tener con ello una justificación... de que". — [24] Predicado. — [25] "Como si en los demás casos hubieran necesitado de tan bellas excusas". — [26] Es decir, salvar a Lisias. — [27] "En aquellas circunstancias". — [28] "(Para caso de incumplimiento)". — [29] "Después que tomó no sólo lo que había convenido en darle". — [30] "Que me con-

ρίου καὶ τετρακοσίους Κυζικηνοὺς καὶ ἑκατὸν Δαρεικοὺς καὶ φιάλας ἀργυρᾶς τέτταρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι, ὁ δ' 12 ἀγαπήσειν με[30] ἔφασκεν, εἰ τὸ σῶμα σώσω. Ἐξιοῦσι δ' ἐμοὶ καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες, καὶ καταλαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅποι βαδίζοιμεν· ὁ δ' ἔφασκεν εἰς τὰ[31] τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα καὶ τά ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. Ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὐτῶν ἀκολουθεῖν εἰς[32] 13 Δαμνίππου. Πείσων δὲ προσελθὼν σιγᾷν μοι παρεκελεύετο καὶ θαρρεῖν, ὡς ἥξων[33] ἐκεῖσε. Καταλαμβάνομεν δὲ αὐτόθι Θέογνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο. Ἐν τοιούτῳ δ' ὄντι μοι κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος[34] 14 ἤδη. Καλέσας δὲ Δάμνιππον λέγω πρὸς αὐτὸν τάδε·«Ἐπιτήδειος μέν μοι τυγχάνεις ὤν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν, ἀδικῶ δ' οὐδέν, χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. Σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν εἰς τὴν ἐμὴν σωτηρίαν». Ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν. Ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι· ἠγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτόν, εἴ τις ἀργύ- 15 ριον διδοίη. Ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι[35] (ἔμπειρος γάρ ὢν ἐτύγχανον τῆς οἰκίας καὶ ἤδη ὅτι ἀμφίθυρος εἴη) ἐδόκει μοι ταύτῃ[36] πειρᾶσθαι σωθῆναι, ἐνθυμουμένῳ ὅτι, ἐὰν μὲν λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, ἡγούμην μέν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι, εἰ 16 δὲ μή, ὁμοίως ἀποθανεῖσθαι[37].' Ταῦτα διανοηθεὶς ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων[35]· τριῶν δὲ θυρῶν οὐσῶν[16], ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον. Ἀφικόμενος δὲ εἰς[32] Ἀρχένεω τοῦ ναυκλήρου ἐκεῖνον πέμπω εἰς

---

tentara". — [31] "Y él dijo (que) a (casa)". — [32] "(Casa)". — [33] "En la idea de que él iría". — [34] "En la idea de que la muerte estaba próxima". — [35] Temporal. — [36] "Por allí". — [37] Si se escapa, se salvará, y si es sorprendido fugándose, pueden ocurrir dos cosas: que Teognis acceda a ser sobornado, y entonces "nada menos seria soltado (por el hecho de haber sido sorprendido)"; o que no acceda, y entonces "moriría igualmente (que si no hubiera intentado fugar-

ἄστυ, πευσόμενον[38] περὶ τοῦ ἀδελφοῦ· ἥκων δὲ ἔλεγεν ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβὼν εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. Καὶ ἐγὼ τοιαῦτα πεπυσμένος τῆς ἐπιούσης νυκτὸς[35] διέπλευσα 17
Μέγαράδε. Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα τοὺπ' ἐκείνων εἰθισμένον παράγγελμα[39], πίνειν κώνειον, πρὶν[40] τὴν αἰτίαν εἰπεῖν δι' ἣντινα ἔμελλεν ἀποθανεῖσθαι· οὕτω πολλοῦ ἐδέησε[41] κριθῆναι καὶ ἀπολογήσασθαι. Καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δε- 18
σμωτηρίου τεθνεώς, τριῶν ἡμῖν[42] οἰκιῶν οὐσῶν[16] οὐδ' ἐκ μιᾶς[43] εἴασαν ἐξενεχθῆναι[44], ἀλλὰ κλεισίον μισθωσάμενοι προύθεντο αὐτόν.* Καὶ πολλῶν ὄντων ἱματίων[16] αἰτοῦσιν[45] οὐδὲν ἔδοσαν εἰς τὴν ταφήν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ τι ἕκαστος ἔτυχεν[46] ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. Καὶ ἔχον- 19
τες[16] μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων[47], ἔχοντες[16] δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον καὶ ἔπιπλα καὶ ἱμάτια γυναικεῖα ὅσα οὐδεπώποτε ᾤοντο κτήσεσθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατόν, ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν, εἰς τοσαύτην ἁπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο[48]· τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας, οὓς ἔχουσα ἐτύγχανεν ὅτε τὸ πρῶτον[49] ἦλθεν εἰς τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. Καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς 20
οὐσίας ἐλέου[50] παρ' αὐτῶν ἐτυγχάνομεν. Ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ ἂν[51] ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες, οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει, ἀλλὰ πάσας <μὲν> τὰς χορηγίας[4] χορηγήσαντας[52], πολλὰς δ' εἰσφορὰς

---

se)". — [38] Final. — [39] Acusativo interno. — [40] "Sin". — [41] Como es costumbre, la que sería consecutiva se ha colocado antes en yuxtaposición: "tan lejos estuvo de... que ni le dijeron...". — [42] Posesivo. — [43] Como ἐξ οὐδεμιᾶς. — [44] Se trata de los ritos fúnebres de la πρόθεσις (exposición del cadáver) y ἐκφορά (conducción o entierro). — [45] "A quienes (se los pedían)". — [46] "Lo que cada uno tenía a mano". — [47] En el taller de Lisias se fabricaban escudos. — [48] Anacoluto: se esperaría consecutiva. — [49] "Por primera vez"; se pone de relieve la brutalidad de quienes arrebatan a la mujer de Polemarco hasta las joyas que ya poseía de soltera. — [50] Genitivo con verbos de "obtener". — [51] Súplase otro (ἐξημάρτανον). — [52] Se trata de la liturgia o prestación personal por la que

εἰσενεγκόντας, κοσμίους [24] δ' ἡμᾶς αὐτοὺς παρέχοντας καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα κεκτημένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων λυσαμένους· τοιούτων ἠξίωσαν
21 οὐχ ὁμοίως μετοικοῦντας ὥσπερ αὐτοὶ ἐπολιτεύοντο [53]. Οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀποκτείναντες ἀτάφους [24] ἐποίησαν, πολλοὺς δ' ἐπιτίμους ὄντας ἀτίμους [24] τῆς πόλεως [54] κατέστησαν, πολλῶν δὲ θυγατέρας
22 μελλούσας ἐκδίδοσθαι [55] ἐκώλυσαν. Καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. Ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν· μετῆν [56] γὰρ ἂν καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ
23 ἐλάχιστον μέρος. Νῦν δέ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει [57] οὔτε πρὸς ἐμέ· τὸν ἀδελφὸν γάρ μου, ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτός ἰδίᾳ ἀδικούμενος οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ πα-
24 ρανομίᾳ [58] προθύμως ἐξυπηρετῶν. Ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἐρέσθαι, ὦ ἄνδρες δικασταί. Τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ πρὸς αὐτὸν τοῦτον ὅσιον καὶ εὐσεβές [59]. Ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι, ὅ τι ἄν σε ἐρωτῶ.

25 Ἀπῆγαγες Πολέμαρχον ἢ οὔ; «Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς [60] ἐποίουν». «Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ, ὅτε οἱ λόγοι ἐγίγνοντο περὶ ἡμῶν;» «Ἦ [61]». «Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι ἢ ἀντέλεγες;» «Ἀντέλεγον». «Ἵνα μὴ ἀποθάνωμεν;» «Ἵνα μὴ ἀποθάνητε». «Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια;» «Ἄδικα».

---

una persona pudiente se convierte en corego o mecenas de un coro. — [53] "A quienes éramos mejores metecos que ellos ciudadanos". — [54] "De la ciudadanía". — [55] "Casarse". — [56] "Me correspondería". — [57] "Les ocurre eso". — [58] "Afán de crimen". — [59] Lisias se disculpa por el hecho de tener que dialogar con un criminal: si se tratara de defender a éste, sería impío aun hablar de él con otro; pero, si es para hacerle daño, no hay impiedad alguna en la conversación. — [60] Causal. — [61] "Estaba". — [62] "La mayoría de vosotros". — [63] "O". — [64] "Por-

Εἶτ', ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνε- 26
λάμβανες δὲ ἵνα ἀποκτείνῃς; Καὶ ὅτε μέν τὸ πλῆθος ἦν ὑμῶν[62]
κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομέ-
νοις ἡμᾶς ἀπολέσαι, ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι
Πολέμαρχον καὶ[63] μή, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; Εἶθ' ὅτι[64]
μέν, ὡς φῄς, ἀντειπὼν οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζε-
σθαι, ὅτι[64] δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ'[65] ἐμοὶ καὶ τουτοισὶ δοῦ-
ναι δίκην;

Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν[66], εἴπερ ἀληθῆ λέγει 27
φάσκων ἀντειπεῖν, ὡς αὐτῷ προσετάχθη. Οὐ γὰρ δῆπου ἐν τοῖς
μετοίκοις[67] πίστιν παρ' αὐτοῦ ἐλάμβανον. Ἔπειτα τῷ[68] ἧττον
εἰκὸς ἦν προσταχθῆναι ἢ[69] ὅστις ἀντειπών γε ἐτύγχανε καὶ γνώ-
μην ἀποδεδειγμένος; Τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα[70] ὑπηρετῆ-
σαι ἢ τὸν ἀντειπόντα οἷς[71] ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; Ἔτι δὲ 28
τοῖς μὲν ἄλλοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν
γεγενημένων εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ
τοὺς τριάκοντα, ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς
ἀποδέχεσθαι[72]; Εἰ μὲν γάρ τις ἦν ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα 29
ταύτης, ὑφ' ἧς αὐτῷ προσετάττετο[73] παρὰ τὸ δίκαιον ἀνθρώπους
ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε· νῦν δὲ παρὰ
τοῦ[74] ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν
ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν; Καὶ μὲν δὴ οὐκ 30
ἐν τῇ οἰκίᾳ ἀλλ' ἐν τῇ ὁδῷ, σῴζειν[75] τε αὐτὸν καὶ τὰ τούτοις ἐψη-
φισμένα παρόν[76], συλλαβὼν ἀπήγαγεν. Ὑμεῖς δὲ πᾶσιν ὀργίζεσθε,
ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας ζήτησιν ποιούμενοι ἢ ὑμῶν

---

que". — [65] "(Crees que mereces)". — [66] "Por otra parte, tampoco es razonable creerle" (*si Eratóstenes se opuso en el consejo a las medidas contra los metecos, no es lógico que le hayan encargado de detener a nadie; pero es así que él detuvo, luego no se opuso*). — [67] "En el asunto de los metecos", que, por su importancia, excluía la posibilidad de un sondeo para explorar la fidelidad de Eratóstenes. — [68] "A quién". — [69] "(A aquel)". — [70] "En ello". — [71] Atracción equivalente a τούτοις ἅ. — [72] Sofisma de Lisias: era razonable que uno de los Treinta culpara a los demás. — [73] Atracción modal. — [74] "De quién". — [75] Con αὐτόν significa "salvar", y con τά ... ἐψηφισμένα, "cumplir"; es un zeugma. — [76] Acusativo absoluto. — [77] Quiere decir que no está bien ayudar a

31 ἢ τῶν ὑμετέρων τινός. Καίτοι, εἰ χρὴ τοῖς διὰ τὴν ἑαυτῶν σωτηρίαν ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε· κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ ἐλθεῖν καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. Τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν ὅτι οὐκ ἀπήντησεν, ἔπειτα ὅτι οὐκ εἶδεν· ταῦτα γὰρ οὔτε ἔλεγχον οὔτε βάσανον εἶχε, ὥστε μηδ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων οἷόν τε εἶναι
32 ἐξελεγχθῆναι. Χρῆν δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα χρηστός, πολὺ μᾶλλον τοῖς μέλλουσιν δικαίως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν[77]. Νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς[78] ἀνιωμένου ἀλλ' ὡς ἡδομένου
33 τοῖς γιγνομένοις, ὥστε τούσδε[79] ἐκ τῶν ἔργων χρὴ μᾶλλον ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα τῶν τότε λεγομένων τεκμήρια[24] λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. Οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὐτοῖς[80] εἶναι, ὥστ' ἐπὶ τούτοις[81] ἐστὶ πάντα τὰ κακὰ[82]
34 εἰργασμένοις τὴν πόλιν[82] πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. Τοῦτο μέντοι οὐ φεύγω, ἀλλ' ὁμολογῶ σοι, εἰ βούλει, ἀντειπεῖν[83]. Θαυμάζω[84] δὲ τί ἄν ποτ' ἐποίησας συνειπών, ὁπότε ἀντειπεῖν φάσκων ἀπέκτεινας Πολέμαρχον.

Φέρε δή, τί ἄν[85], εἰ καὶ ἀδελφοὶ ὄντες ἐτυγχάνετε αὐτοῦ ἢ καὶ υἱεῖς; Ἀπεψηφίζεσθε ⟨ἂν⟩; Δεῖ γάρ, ὦ ἄνδρες δικασταί, Ἐρατοσθένη δυοῖν θάτερον[86] ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτόν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. Οὗτος δὲ ὡμολόγηκεν ἀδίκως συλλαβεῖν,
35 ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι[38] τίνα γνώμην περὶ τούτων ἕξετε[87]. Ὧν οἱ μὲν ὑμέτεροι ὄντες πολῖται μαθόντες ἀπίασιν[88] ὅτι ἢ δίκην δώσουσιν ὧν[89] ἂν ἐξαμάρτωσιν[90], ἢ

---

los criminales a eludir la acción de la justicia, pero peor es detener a una víctima inocente. — [78] Súplase (ἔργα). — [79] Los jueces. — [80] "En nuestras propias casas". — [81] "En manos de éstos", de los oligarcas. — [82] Acusativo doble. — [83] "Que te opusiste". — [84] "Me pregunto con admiración". — [85] "(Haríais)". — [86] "Una de dos cosas". — [87] Porque del resultado del proceso dependía el cumplimiento más o menos estricto, en lo futuro, de la cláusula de amnistía. — [88] Futuro. — [89] Atracción equivalente a τούτων ἅ. — [90] En caso de condena de

πράξαντες μὲν ὧν[91] ἐφίενται τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ τὸ ἴσον ὑμῖν ἕξουσιν[92]· ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων ἢ δικαίως[93]. Εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσουσιν, ἦ που σφᾶς <γ'> αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τηρουμένους[94]. Οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρατηγούς, 36
οἳ ἐνίκων ναυμαχοῦντες, ὅτε διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ[95] τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν, τούτους δέ, οἳ ἰδιῶται μὲν ὄντες καθ' ὅσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας, ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι[96], οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι;

Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ἠξίουν ἱκανὰ εἶναι τὰ κατη- 37
γορημένα· μέχρι γὰρ τούτου[97] νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι. Ταύτην[98] γὰρ ἐσχάτην δίκην[24] δυνάμεθα παρ' αὐτῶν λαβεῖν. Ὥστ' οὐκ οἶδ' ὅ τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν[12], οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἂν <ἱκανήν>. Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν 38
τῇδε τῇ πόλει εἰθισμένον ἐστί, πρὸς μὲν τὰ κατηγορημένα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες[99], <ἢ>[100] πόλεις πολεμίας οὔσας φίλας ἐποίησαν· ἐπεὶ κελεύετε αὐτὸν ἀπο- 39

Eratóstenes. — [91] Omisión de antecedente y genitivo con verbos de "aspirar a". — [92] Si es absuelto. — [93] Parece que algunos de los Treinta intentaron refugiarse en otras ciudades, pero no lo lograron, porque los atenienses habían conseguido que se les prohibiese la entrada mediante heraldos. — [94] "Considerarán, sin duda, como un entrometimiento por su propia parte el mantener vigilancia (los de otras ciudades) en defensa vuestra". — [95] Atracción de la preposición; debería ser ἐν τῇ θαλάττῃ; se refiere a la batalla de las Arginusas. — [96] Anacoluto. — [97] Introduce la oración de ἕως. — [98] Atracción de género, en vez de τοῦτο. — [99] Se refiere a la trierarquía, otra liturgia que consiste en costear los aparejos y los

δεῖξαι ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν ὅσους τῶν πολιτῶν, ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον ὅσας αὐτοὶ παρέδοσαν[101], ἢ πόλιν ἥντινα τοιαύτην προσεκτήσαντο οἵαν τὴν ὑμετέραν κατε-
40 δουλώσαντο. Ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ‹τοσαῦτα› ἐσκύλευσαν ὅσα περ ὑμῶν ἀφείλοντο; Ἀλλὰ τείχη τοιαῦτα εἶλον οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν[101]; Οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμῖν ἐδήλωσαν ὅτι οὐδὲ[102] τὸν Πειραιᾶ[103] Λακεδαιμονίων προσταττόντων[60] περιεῖλον, ἀλλ' ὅτι ἑαυτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι.

41 Πολλάκις οὖν ἐθαύμασα[104] τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτοῦ, πλὴν ὅταν ἐνθυμηθῶ ὅτι τῶν αὐτῶν ἐστιν[105] αὐτούς τε
42 πάντα τὰ κακὰ ἐργάζεσθαι καὶ τοὺς τοιούτους[106] ἐπαινεῖν. Οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ[107] τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστάς[108] ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. Ἀφικόμενος δὲ δεῦρο τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττε. Καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ[109]

43 Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν[110], πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων[111] ἑταίρων, συναγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττον-
44 τες· ὧν Ἐρατοσθένης καὶ Κριτίας[112] ἦσαν. Οὗτοι δὲ φυλάρχους

---

gastos de una nave de guerra. — [100] Súplase (ὡς). — [101] Como consecuencia del tratado de paz. — [102] "Tampoco". — [103] Se refiere a los muros de Pireo. — [104] "A causa de". — [105] "(Propio)". — [106] "(Como ellos)". — [107] "En tiempos de", pero quiere decir "poco antes de". — [108] Conativo. — [109] Suben a declarar los testigos. — [110] "Y de ahí comenzó la revolución", aplicado a lo siguiente. — [111] Giro despectivo para referirse a los ἑταῖροι ("compañeros") o συνωμόται ("conjurados") que formaban parte de las ἑταιρεῖαι o sociedades oligárquicas. — [112] Critias no estaba en Atenas cuando ocurrieron estos hechos. — [113] Condicional;

τε ἐπὶ τὰς φυλὰς κατέστησαν, καὶ ὅ τι δέοι χειροτονεῖσθαι καὶ
οὕστινας χρείη ἄρχειν παρῆγγελλον, καὶ εἴ τι ἄλλο πράττειν
βούλοιντο, κύριοι ἦσαν· οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον ἀλλὰ
καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε ὅπως μήτ' ἀγαθὸν
μηδὲν ψηφίσησθε πολλῶν τε ἐνδεεῖς ἔσεσθε. Τοῦτο γὰρ καλῶς 45
ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κα-
κῶς δὲ πραττόντων [113] δυνήσονται· καὶ ὑμᾶς ἠγοῦντο τῶν παρόν-
των κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι περὶ τῶν μελλόντων οὐκ
ἐνθυμήσεσθαι. Ὡς [114] τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν 46
παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην),
ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους [115] ἀκούσαντας. Καίτοι εἰ ἐσω- 47
φρόνουν κατεμαρτύρουν ἂν αὐτῶν [12], καὶ τοὺς διδασκάλους τῶν
σφετέρων ἁμαρτημάτων σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς δρκους οὐκ
ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς
τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον [116]. Πρὸς μὲν οὖν τούτους
τοσαῦτα λέγω, τοὺς δὲ μάρτυράς μοι κάλει [117]. Καὶ ὑμεῖς ἀνά-
βητε.

ΜΑΡΤΥΡΕΣ [109]

Τῶν μὲν μαρτύρων [115] ἀκηκόατε. Τὸ δὲ τελευταῖον [118] εἰς τὴν 48
ἀρχὴν καταστὰς ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν.
Καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθός, ἐχρῆν [119] αὐτὸν πρῶτον μὲν μὴ πα-
ρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίγνεσθαι περὶ τῶν
εἰσαγγελιῶν ἁπασῶν [120], ὅτι ψευδεῖς εἶεν, καὶ [121] Βάτραχος καὶ
Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα
πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλά-
βῃ. Καὶ μέν δή, ὦ ἄνδρες δικασταί, ὅσοι κακόνοι ἦσαν τῷ ὑμε- 49

---

súplase (ὑμῶν). — [114] "De que". — [115] Genitivo con verbos de "oír". — [116] "Y no considerarían como respetables los juramentos hechos (en las sociedades secretas) para perjuicio de sus conciudadanos después de haber violado sin escrúpulos los que tendían al bien de la ciudad (prestados en el desempeño de magistraturas, por ejemplo)"; por lo visto, los antiguos amigos de Eratóstenes se niegan a deponer. — [117] Se dirige al ujier. — [118] "Por último". — [119] "Habría sido preciso". — [120] "(Diciendo)". — [121] "(Que)". — [122] "No perdían nada con

τέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες[122]· ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες[123] καὶ πράττοντες ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι[124] τῇ πόλει. Ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες;

50 Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅτι ἐδεδοίκει, καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται. Ὅπως τοίνυν μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος[125]· εἰ δὲ μή[126], ἐνταυθοῖ[127] δῆλος ἔσται ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον ἐδύνατο ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. Χρὴν[119] δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θη-
51 ραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. Ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ[128] τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν ἀλλ' ὑπὲρ ἑαυτῶν γιγνομένας[129], ὁπότεροι μόνοι πάντα πράξουσι καὶ τῆς πόλεως
52 ἄρξουσι. Εἰ γὰρ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον ἦν ἀνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος[130], τότε ἐπιδείξασθαι τὴν αὐτοῦ εὔνοιαν; Ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατεψηφίσατο[131].

53 ✓ Ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν καὶ αἱ ταραχαὶ[132] γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίγνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι[133], ὡς ἀμφό-

---

callar". — [123] "Porque había otros que dijeran". — [124] Literalmente "(cosas) con respecto a las cuales no era posible que ocurrieran males peores". — [125] "Que no resulte que se opuso" (en son de advertencia, porque el que los Treinta toleraran la oposición de una persona indicaba influencia por parte de ésta). — [126] "Y si no (es así)", es decir, "si resulta". — [127] "En ello". — [128] "(También demostraré)". — [129] "(Para decidir)". — [130] Temporal. — [131] "Decretó". — [132] La batalla de Muniquia; se refiere ahora a unos primeros sondeos y conversaciones sobre reconciliación. — [133] Súplase (διαλλαγάς). — [134] De Muniquia. — [135] Los pri-

τεροι ἔδειξαν. Οἱ μὲν γὰρ ἐκ Πειραιῶς κρείττους ὄντες εἴασαν
αὐτοὺς ἀπελθεῖν [134]· οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες τοὺς μὲν τριάκοντα 54
ἐξέβαλον πλὴν Φείδωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς
ἐκείνοις ἐχθίστους [135] εἵλοντο, ἡγούμενοι δικαίως [136] ἂν ὑπὸ τῶν
αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φι-
λεῖσθαι. Τούτων τοίνυν Φείδων γενόμενος καὶ Ἱπποκλῆς καὶ 55
Ἐπιχάρης ὁ Λαμπτρεὺς καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτα-
τοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὶ
εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ
τοὺς ἐν Πειραιεῖ τοῖς ἐξ ἄστεως [137] ἐποίησαν· ᾧ καὶ φανερῶς ἐπε- 56
δείξαντο ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολ-
λυμένων ἐστασίαζον, οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπουν οὐδ' οἱ
μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι καὶ θᾶττον
πλουτοῦντες [138]. Λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν ἀμφο- 57
τέροις ἐπολέμουν, τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις
καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι. Καίτοι τοῦτο πᾶσι δῆλον ἦν,
ὅτι εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως, εἰ δ' ὑμεῖς δι-
καίως, οἱ τριάκοντα ἀδίκως· οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λα-
βόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. Ὥστε σφόδρα 58
χρὴ ὀργίζεσθαι, ὅτι Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ κατ-
αγαγεῖν [139] τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε καὶ τῇ αὐτῇ
γνώμῃ τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος
ἦν, ὑμῖν δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν,
ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα ἔπειθεν αὐτοὺς στρατεύεσθαι, δια-
βάλλων ὅτι Βοιωτῶν ἡ πόλις ἔσται [140], καὶ ἄλλα λέγων οἷς ᾤετο
πείσειν μάλιστα. Οὐ δυνάμενος δὲ τούτων [141] τυχεῖν, εἴτε καὶ τῶν 59
ἱερῶν [142] ἐμποδὼν ὄντων εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν
τάλαντα ἐδανείσατο, ἵνα ἔχοι ἐπικούρους μισθοῦσθαι, καὶ Λύσαν-
δρον ἄρχοντα [24] ᾔτησατο, εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ,

---

meros Diez. —[136] "Razonablemente". — [137] "Entre los del Pireo y los de la ciudad". — [138] "(Que ellos)". — [139] Consecutivo-final. — [140] Fidón quería impresionar a los espartanos con el peligro de una excesiva influencia tebana en Atenas, pues Trasibulo había sido muy apoyado por los beocios. — [141] Genitivo con verbos de "obtener". — [142] "Los presagios", muy respetados por los esparta-

κακονούστατον δὲ τῇ πόλει, μισοῦντα δὲ μάλιστα τοὺς ἐν Πειραιεῖ. χ
60 Μισθωσάμενοι δὲ πάντας ἀνθρώπους [143] ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες καὶ τελευτῶντες [118] Λακεδαιμονίους καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν εἰ μὴ [144] δι' ἄνδρας ἀγαθούς [145], οἷς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις
61 χάριν ἀποδώσετε. Ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοί, καὶ <οὐκ> οἶδ' ὅ τι [146] δεῖ μάρτυρας παρασχέσθαι· ὅμως δέ [147]· ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλείστων τοὺς αὐτοὺς λόγους ἀκούειν [148].

ΜΑΡΤΥΡΕΣ [109]

62 Φέρε δὴ καὶ [149] περὶ Θηραμένους ὡς ἂν δύνωμαι διὰ βραχυτάτων [150] διδάξω. Δέομαι δ' ὑμῶν [151] ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. Καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς [152] Ἐρατοσθένους κινδυνεύοντος [153] Θηραμένους [12] κατηγορῶ· πυνθάνομαι γὰρ ταῦτα [154] ἀπολογήσεσθαι αὐτόν, ὅτι ἐκείνῳ φίλος ἦν καὶ τῶν αὐτῶν ἔργων
63 μετεῖχε. Καίτοι [155] σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν [156] ὅπως οἰκοδομηθήσεται τὰ τείχη, ὁπότε καὶ μετὰ Θηραμένους ὅπως καθαιρεθήσεται. <Ἀλλ'> οὐ γάρ μοι [157] δοκοῦσιν ἴσου ἄξιοι γεγενῆσθαι· ὁ μὲν γὰρ Λακεδαιμονίων ἀκόντων [16] ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πο-
64 λίτας ἐξαπατήσας καθεῖλε. Περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. Ἄξιον μὲν γὰρ <ἦν> [158] καὶ τοὺς φίλους τοὺς Θηραμένους προσαπολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναν-

---

nos. — [143] "A hombres de toda laya". — [144] "(Y lo habrían hecho) si no (hubiera sido)". — [145] Los segundos Diez. — [146] "Por qué". — [147] "(Lo haré)". — [148] "(Es) más agradable el oir... al mayor número posible de personas". — [149] "Ea, pues, también". — [150] "De la manera más breve que me sea posible". — [151] Genitivo con verbos de "pedir". — [152] "Se le ocurra (como un hecho chocante) lo siguiente, que". — [153] Genitivo absoluto. — [154] "Con esto"; acusativo interno. — [155] Irónico. — [156] "Si éste hubiera actuado en política junto a Temístocles, se jactaría de haber influído". — [157] "Pero es que no me". — [158] "Habría sido". —

τία πράττων· νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίου ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένου [159]. Ὃς πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, 65
πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἐλέσθαι. Καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν ταῦτ' ἔπραττεν, αὐτὸς δὲ δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι στρατηγὸς ὑπ' αὐτῶν ᾑρέθη. Καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν· 66
ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτέρους αὐτοῦ γιγνομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων [115] ἀκροᾶσθαι, τότ' ἤδη διά τε τὸν πρὸς ἐκείνους φθόνον καὶ τὸ παρ' ὑμῶν δέος μετέσχε τῶν Ἀριστοκράτους ἔργων. Βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι Ἀντιφῶντα 67
καὶ Ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ κατηγορῶν ἀπέκτεινεν [160], εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους ἀπώλεσε [161]. Τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, 68
αὐτὸς [162] ἐπαγγειλάμενος σώσειν τὴν πόλιν αὐτὸς ἀπώλεσε, φάσκων πρᾶγμα ηὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον· ὑπέσχετο δὲ εἰρήνην ποιήσειν μήτε ὅμηρα δοὺς μήτε τὰ τείχη καθελὼν μήτε τὰς ναῦς παραδούς, ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. Ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτῆρια, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰδότες [16] δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων ἕνεκα τἀπόρρητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ' ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν [163], ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα καὶ παῖδας καὶ γυναῖκας καὶ ὑμᾶς αὐτούς. Ὁ δὲ ὢν [89] μέν ὑπέσχετο οὐδέν ἔπραξεν, 70
οὕτως δὲ ἐνετεθύμητο ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν, ὥστε περὶ ὧν οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν πολιτῶν ἤλπισε [164], ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι, οὐχ ὑπὸ Λακεδαι-

---

[159] "Como si hubiera sido". — [160] Factitivo. — [161] "Que, después de haberos esclavizado por mantenerse fiel a aquéllos, mató a sus amigos por serlo para con vosotros". — [162] Sólo sirve para reforzar el siguiente αὐτός. — [163] "A pesar

μονίων ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος, τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι [165], εὖ εἰδὼς ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε,
71 ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. Καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταί, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνων καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε
72 δὲ τὸ τῶν πολεμίων στρατόπεδον [166]. Τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντος Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν, ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο μηδὲ διαπειλοῖτο ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα
73 ἕλοισθε, ἀλλὰ τἀκείνοις δοκοῦντα ψηφίσαισθε. Ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν καὶ τῇ πολιτείᾳ χρῆσθαι ἣν Δρακοντίδης ἀπέφαινεν. Ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι [16] ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες [167] ταῦτα· ἐγιγνώσκετε γάρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν
74 ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. Θηραμένης δέ, ὦ ἄνδρες δικασταί (καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας [24] παρέξομαι), εἶπεν ὅτι οὐδὲν αὐτῷ μέλοι [168] τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι. Μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ εἶπε καὶ ὅτι [169] παρασπόνδους [24] ὑμᾶς ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας [170], εἰ μὴ ποιήσεθ' ἃ
75 Θηραμένης κελεύει. Τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ [171] μένοντες ἡσυχίαν ἦγον, οἱ δὲ ᾤχοντο ἀπιόντες, τοῦτο γοῦν σφίσιν

---

de que veíais que, mientras todos los demás hombres mantienen las cosas secretas para los enemigos, él no quería revelar entre sus conciudadanos lo que se disponía a decir a los contrarios". — [164] "Ni (en las cuales jamás) pensó". — [165] Aposiciones a ταῦτα. — [166] "Hasta el momento que ellos llamaban oportuno y que había sido cuidadosamente acechado por él: una vez que hubiera hecho venir... y cuando... estuviese en la ciudad". — [167] "Como quien no quiere hacer". — [168] "Se le importaba". — [169] "Dijo, entre otras muchas cosas, que". — [170] "Supervivencia". — [171] "Allí". — [172] "Persuadidos por lo menos de una cosa, de

αὐτοῖς συνειδότες, ὅτι [172] οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο [173]· ὀλίγοι δέ τινες καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι τὰ προσταχθέντα ἐχειροτόνησαν. Παρήγγελτο γὰρ αὐτοῖς δέκα μὲν οὓς Θηραμέ- 76
νης ἀπέδειξε χειροτονῆσαι, δέκα δὲ οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δ' ἐκ τῶν παρόντων· οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων καὶ τὴν αὑτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. Ταῦτα δὲ 77
οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ [174]· πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν, ὀνειδίζων [175] μὲν τοῖς φεύγουσιν [176], ὅτι δι' αὐτὸν κατέλθοιεν [173] οὐδὲν φροντιζόντων Λακεδαιμονίων [16], ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν [177], ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ αὐτὸς αἴτιος γεγενημένος [16] τοιούτων [50] τυγχάνοι, πολλὰς πίστεις αὐτοῖς ἔργῳ δεδωκὼς καὶ παρ' ἐκείνων ὅρκους εἰληφὼς [16]. Καὶ 78
τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ [178] καὶ μικρῶν καὶ μεγάλων αἰτίου γεγενημένου τολμήσουσιν αὐτοὺς φίλους ὄντας ἀποφαίνειν, οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους [16] ἀλλ' ὑπὲρ [179] τῆς αὐτοῦ πονηρίας, καὶ δικαίως μέν ἐν ὀλιγαρχίᾳ δίκην δόντος [16] (ἤδη γὰρ αὐτὴν κατέλυσε [173]), δικαίως δ' ἂν [180] ἐν δημοκρατίᾳ· δὶς γὰρ ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν [181], καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος δεινοτάτων ἔργων διδάσκαλος καταστάς.

Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοί ἐστι τὰ κατηγορημένα· 79
ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρός, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τούτου συναρχόντων δίκην λαβεῖν, μηδὲ μαχομένους <μὲν>

---

que". — [173] En español, pluscuamperfecto. — [174] Terámenes. — [175] "Echando en cara". — [176] Se trata de los oligarcas desterrados cuya vuelta a Atenas se acordó después de la rendición de la ciudad; Lisias está hablando del discurso de defensa pronunciado por Terámenes en su proceso ante los Treinta. — [177] A los partidarios de la oligarquía. — [178] "Antiguos y recientes". — [179] La primera vez significa "en defensa de" y la segunda "a causa de". — [180] "Pero justamente (también la habría expiado, si no hubiera cambiado de partido la primera vez y no hubiera muerto la segunda)". — [181] "En su desprecio por lo presente y su afán

κρείττους εἶναι τῶν πολεμίων, ψηφιζομένους δέ ἥττους τῶν
80 ἐχθρῶν. Μηδ' ὧν φασι μέλλειν πράξειν πλείω χάριν αὐτοῖς ἴστε,
ἢ ὧν ἐποίησαν ὀργίζεσθε[182]· μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπι-
βουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἢ τούτους παρέ-
δωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθῆσητε.

81 Κατηγόρηται δὴ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς
ἀπολογίας ἀνοίσει καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. Ὁ μέντοι
ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει[183]· οὗτος μὲν γὰρ
κατήγορος καὶ δικαστὴς αὑτὸς[184] ἦν τῶν κρινομένων, ἡμεῖς δὲ
82 νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. Καὶ οὗτοι μὲν
τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτους ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπο-
λέσαντας τὴν πόλιν κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν, παρ' ὧν οὐδ'
ἂν παρανόμως βουλόμενοι[185] δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημά-
των ὧν[186] τὴν πόλιν ἠδικήκασι λάβοιτε. Τί γὰρ ἂν παθόντες δίκην
83 τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες[187]; Πότερον εἰ αὐτοὺς
ἀποκτείναιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην
λάβοιμεν[188], ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτους
ἀπέκτειναν; Ἀλλὰ γὰρ εἰ τὰ χρήματα τά φανερὰ δημεύσαιτε, κα-
λῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις,
84 ὧν ‹τάς› οἰκίας ἐξεπόρθησαν; Ἐπειδὴ τοίνυν πάντα ποιοῦντες
‹ἱκανὴν› δίκην παρ' αὐτῶν οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ
αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν ἀπολιπεῖν, ἥντινά τις βούλοιτο παρὰ
τούτων λαμβάνειν;

Πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνί, οὐχ ἑτέρων ὄντων
τῶν δικαστῶν ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογη-
σόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας· το-
85 σοῦτον ἢ ὑμῶν[189] καταπεφρόνηκεν ἢ ἑτέροις πεπίστευκεν. Ὧν
ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένους ὅτι οὔτ' ἂν ἐκεῖνα

---

de novedades". — [182] "Que vuestro agradecimiento ante lo que dicen que van a hacer no sea mayor que vuestra cólera por lo que ya han hecho". — [183] "La partida entre... no se presenta en igualdad de condiciones". — [184] "A la vez". — [185] "Ni aunque quisierais". — [186] Atracción en vez de ἅ; acusativo interno. — [187] Perífrasis equivalente al optativo perfecto activo. — [188] "(Aquellos)". — [189] Genitivo con verbos de "despreciar". — [190] Condicional. — [191] "(Con respecto

ἐδύναντο ποιεῖν μὴ ἑτέρων συμπραττόντων[190] οὔτ' ἂν νῦν ἐπεχείρησαν ἐλθεῖν μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι[190] σωθήσεσθαι, οἷ οὐ τούτοις ἤκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι[191] τῶν ‹τε› πεπραγμένων καὶ τοῦ λοιποῦ[192] ποιεῖν ὅ τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε. Ἀλλὰ καὶ[191] τῶν συνερούντων αὐτοῖς ἄξιον θαυμά- 86
ζειν[193], πότερον ὡς καλοὶ κἀγαθοὶ[194] αἰτήσονται, τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν[24] ἀποφαίνοντες τῆς ‹τούτων› πονηρίας (ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σῴζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι), ἢ ὡς δεινοὶ[195] λέγειν ἀπologήσονται καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια[24] ἀποφανοῦσιν. Ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν.

Ἀλλὰ τοὺς μάρτυρας ἄξιον[196] ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες 87
αὑτῶν[12] κατηγοροῦσι, σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ[197] δὲ Ἐρατοσθένη καὶ τοὺς συνάρχοντας αὐτοῦ δεινὸν ἦν καὶ τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν; Καί- 88
τοι οὗτοι μὲν σωθέντες[190] πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι, ἐκεῖνοι δέ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον πέρας[24] ἔχουσι ‹τὸν θάνατον› τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. Οὐκ οὖν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασι δήπου ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται[198]; Καὶ μὲν δὴ 89
πολὺ ῥᾷον ἡγοῦμαι εἶναι ὑπὲρ ὧν[89] ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ ὑπὲρ ὧν[89] οὗτοι πεποιήκασιν ἀπologήσασθαι. Καίτοι λέγουσιν ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι· ὅτι[64] δὲ τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι; Ὑμεῖς δὲ δείξατε ἥντινα γνώμην ἔχετε περὶ τῶν πραγμά- 90
των. Εἰ μὲν γάρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζό-

---

a)". — [192] "(Que va a ser posible) en adelante". — [193] "Preguntarse con perplejidad". — [194] "Hombres de pro, ciudadanos honrados". — [195] "Expertos en". — [196] "Vale la pena". — [197] La primera vez, "valiéndose de"; la segunda, "por

μενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν ὅτι
91 τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε· νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ψηφίζεσθαι. Ὥστε συμβουλεύω μὴ τούτων ἀποψηφισαμένους ὑμῶν αὐτῶν καταψηφίσασθαι. Μηδ' οἴεσθε κρύβδην τὴν ψῆφον εἶναι· φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε [199].

92 Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαίνειν, τούς τε ἐξ ἄστεως καὶ τοὺς ἐκ Πειραιῶς, ἵνα τὰς ὑμῖν διὰ τούτων γεγενημένας συμφορὰς παραδείγματα [24] ἔχοντες τὴν ψῆφον φέρητε. Καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεώς ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν τοῖς νι-
93 κήσασι τὸ ἴσον ἔχετε, νικήσαντες [190] δ' ἂν τούτοις ἐδουλεύετε. Καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων μεγάλους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον ἐλάττους ἔχετε· συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλλεσθαι δ' ἠνάγκαζον, εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι πιστοὺς ὑμᾶς ἐκτῶντο, ἀλλὰ τῶν ὀνείδων μεταδι-
94 δόντες εὔνους ᾤοντο εἶναι [200]. Ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ θαρραλέῳ ὄντες, καθ' ὅσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ Πειραιῶς τιμωρήσασθε, ἐνθυμηθέντες μὲν ὅτι ὑπὸ τούτων πονηροτάτων ὄντων ἤρχεσθε, ἐνθυμηθέντες δὲ ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύεσθε καὶ τοῖς πολεμίοις μάχεσθε καὶ περὶ τῆς πόλεως βουλεύεσθε, ἀναμνησθέντες δὲ τῶν ἐπικούρων [201], οὓς οὗτοι φύλακας [24] τῆς σφετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας δουλείας εἰς τὴν
95 ἀκρόπολιν κατέστησαν. Καὶ πρὸς ὑμᾶς μὲν ἔτι πολλῶν ὄντων εἰπεῖν τοσαῦτα [202] λέγω. Ὅσοι δ' ἐκ Πειραιῶς ἐστε, πρῶτον μὲν τῶν

---

culpa de". — [198] Nótese que el ambiente era muy desfavorable a Lisias. — [199] No se sabrá quién ha votado por Eratóstenes, pero sí que hay un fuerte partido oligárquico. — [200] "Que no se granjeaban vuestra fidelidad dándoos parte de las ventajas, sino que creyeron que os tendrían bien dispuestos por haceros colaborar en sus hechos censurables". — [201] Mandados por Calibio. — [202] "Nada

ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι οὐχ ὑπὸ τῶν πολεμίων ἀλλ' ὑπὸ τούτων εἰρήνης οὔσης [203] ἀφῃρέθητε τὰ ὅπλα [204], ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων ἐξῃτοῦντο. Ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ ὅτ' ἐφεύγετε, ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν ἃ πεπόνθατε ὑπ' αὐτῶν, οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες βιαίως ἀπέκτειναν, τοὺς δέ ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφέλκοντες φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης [141] εἴασαν τυχεῖν, ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας. 96

Ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες καὶ εἰς πολλὰς πόλεις πλανηθέντες καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων ἦλθετε εἰς τὸν Πειραιᾶ. Πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων ἄνδρες ἀγαθοὶ γενόμενοι τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. 97

Εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε [205], αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε τοιαῦτα οἷα καὶ πρότερον, καὶ οὔτ' ἂν ἱερὰ οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτήρια γίγνεται [206]· οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο, οἱ δ' ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον ἐρημίᾳ τῶν ἐπικουρησόντων [207]. 98

Ἀλλά γὰρ [208] οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν· οὐδὲ γὰρ ἑνός κατηγόρου οὐδὲ δυοῖν ἔργον ἐστίν, ἀλλὰ πολλῶν. Ὅμως δὲ τῆς ἐμῆς προθυμίας <οὐδὲν> ἐλλέλειπται, ὑπέρ <τε> τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν ἀπέδοντο τὰ δ' [209] εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως, ἣν 99

---

más que eso". — [203] "En tiempo de paz". — [204] En activa habría doble acusativo. — [205] Irreal. — [206] "Suelen ser". — [207] "Y otros, en (tierra) extraña, a causa de alguna pequeña deuda se habrían convertido en esclavos por falta de defensores". — [208] "Pero es que". — [209] "Y otras veces". — [210] Los muertos interpretarán cada voto favorable a Eratóstenes como adverso a ellos, y al contrario.

μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων, ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἐδύνασθε, ἀποθα-
100 νοῦσι βοηθήσατε. Οἶμαι δ' αὐτοὺς ἡμῶν τε ἀκροᾶσθαι καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας, ἡγουμένους, ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον κατεψηφισμένους ἔσεσθαι, ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας πεποιημένους [210].

Παύσομαι κατηγορῶν. Ἀκηκόατε, ἑωράκατε, πεπόνθατε, ἔχετε· δικάζετε.

PLATON

Atenas fue la cuna de Platón, hijo de Aristón y Perictione, que nació el año 427 a. J. C. De familia aristocrática cuyas tendencias políticas se aproximaban al oligarquismo, el muchacho recibió educación esmerada y trabó contacto, muy temprano, con Sócrates, cuya filosofía dejó huella indeleble en su espíritu.

Desengañado en ideas políticas a partir del fracaso de los Treinta Tiranos (403 a. J. C.), cuyo jefe, Critias, era pariente suyo, repudió también el credo democrático ante la injusta condena y ejecución de Sócrates por parte del gobierno de moderados que a los oligarcas sucedió. Estas experiencias políticas y filosóficas comenzaron a reflejarse, después de unos años de viajes por Grecia y el Mediterráneo, en la fundación de la escuela académica y la composición de una larga serie de diálogos en que, siguiendo el precedente socrático, las cuestiones son tratadas mediante preguntas y respuestas cuyo interlocutor principal, generalmente un Sócrates cada vez menos parecido a la realidad histórica, termina por demostrar una tesis o, al menos, refutar una falsa opinión.

A la primera época, que suele situarse entre el 399 (expatriación como consecuencia de la muerte del maestro) y el 388 (primer viaje a Sicilia y encuentro con el tirano Dionisio el Viejo y su cuñado Dión), corresponden diálogos breves en que Sócrates, retratado aquí con rasgos muy personales y concordantes con su verdadero carácter, discute, según

su peculiar dialéctica, con un sofista o falso filósofo muy pagado de sus conocimientos y le lleva al ridículo con su refutación. De este período son, con la *Defensa* o *Apología* (que no es un auténtico diálogo, sino la reproducción idealizada de tres alocuciones pronunciadas, según Platón, por Sócrates en su proceso), el *Ión*, *Protágoras*, *Cármides*, *Lisis*, *Laques*, *Eutifrón* y *Critón*.

El segundo período comprende los años 388 (creación de la Academia) a 367 (segundo viaje a Sicilia). Platón, jefe de escuela, está llegando a su madurez y desprendiéndose paulatinamente de la influencia socrática. Aparece una fuerte tendencia a la metafísica y psicología; aumenta el rigor lógico; las mantemáticas, importadas de Italia junto con una marcadísima influencia órfico-pitagórica, van desempeñando un papel predominante; surgen la teoría de las ideas, la de la reminiscencia, la de la inmortalidad del alma; el estilo se depura y personaliza; la imaginación del gran escritor se desborda en bellísimos mitos poéticos. Es la época de las magníficas creaciones literarias y filosóficas: *Gorgias*, *Menéxeno*, *Menón*, *Eutidemo*, *Crátilo* y, sobre todo, *Fedón*, *El banquete*, *Fedro* y *La república*, obra muy larga que fue elaborándose lentamente, pero la mayor parte de la cual debió de ser escrita en estos años.

Una tercera etapa se inicia en el 367 y finaliza el 361, en que el filósofo marcha a Sicilia por tercera vez. La madurez va periclitando y convirtiéndose en senectud. Los optimismos políticos de Platón, que, tras los fracasos de oligarcas y demócratas, creyó aún que iba a encontrar en los Dionisios el monarca-filósofo ideal que diera al mundo felicidad y virtud, van enfriándose ante los descalabros recibidos en sus sucesivos traslados a Siracusa; y su tristeza y amargura se

reflejan en el estilo, menos galano y ágil; en la estructura dramática de los diálogos, más esquemática y árida, cuyos interlocutores pierden personalidad y vivacidad; y en la cada vez mayor austeridad de los razonamientos, más y más abrumados de carga doctrinal. De esta época proceden *Teeteto* y *Parménides*, a los que siguen *El sofista* y *El político*.

Y, por último, en los trece años que median entre 360 y 347, el de la muerte de Platón, es posible situar *Filebo*, *Timeo*, *Critias* y *Las leyes*, la más extensa y tardía de sus obras, en que el filósofo, convencido de que la utópica república de su diálogo así llamado no puede llevarse a la práctica, elabora otra constitución más realista y perfilada en sus pormenores.

Aparte de epigramas, trece cartas (algunas de ellas muy interesantes), una colección de definiciones y siete obras declaradamente espurias, se nos han transmitido como de Platón treinta y cinco diálogos, de los que hemos citado veinticinco. Los diez restantes es más o menos seguro que no proceden de su pluma: se trata de la *Epínomis*, continuación de *Las leyes* debida a su discípulo Filipo de Opunte; *Minos*, *Téages*, *Clitofonte*, *Hiparco* y *Los amantes*, probablemente apócrifos; y las dos parejas *Hipias mayor* y *menor* y *Alcibíades I* y *II*, que quizá podrían ser genuinas.

Todo ello constituye un colosal y precioso legado filosófico y literario. Platón, escritor genial y maestro del diálogo como nadie, sabe producirnos las mayores emociones estéticas construyendo al paso la más noble y humana de las filosofías. Su doctrina, transmitida a los venideros a través de Aristóteles, los neoplatónicos y el Cristianismo, se ha depurado y modificado en lo necesario para convertirse en una de las más sólidas bases de nuestro mundo ideológico.

La caverna

(Rep. 514 a - 519 d)

La república comienza con una discusión acerca de la justicia y pasa luego a estudiarla en las comunidades políticas para extraer de ahí deducciones sobre la justicia individual. Esto nos lleva, naturalmente, a intentar la construcción de una ciudad ideal en que reinen las cuatro virtudes cardinales: prudencia, valor, moderación y justicia. Con ello, la ciudad corresponderá en gran escala al individuo, que debe poseer también las mismas virtudes; y al elemento razonador y director del alma responderá en la ciudad la clase superior de los guardianes. Estos deberán ser filósofos, pues los males del mundo, como se demuestra en la política de todos los días, no cesarán mientras no se entregue el poder a los más cultos y virtuosos; y llegarán a la cumbre de la filosofía, esto es, a la contemplación del sumo bien, después de largos y arduos estudios, estructurados por Platón en un plan que prefigura el de nuestras enseñanzas medias y universitarias.

Se trata, pues, de llegar al conocimiento del más excelso de los seres, origen y prototipo de las virtudes individuales y cívicas; y para describir la ascensión hasta este estado perfecto, Platón recurre a la más conocida y hermosa de sus alegorías míticas, la de la caverna.

Esta puede compararse a una especie de cinematógrafo subterráneo rectangular en que los espectadores están sentados de espaldas a la puerta y de cara a una pared. Detrás de ellos, a cierta distancia y en plano algo superior —pero dentro del local—, hay un fuego encendido, y entre el fuego y los espectadores corta transversalmente la sala un pasillo algo elevado al lado del cual —entre el pasillo y el público— discurre, también transversalmente, una mampara tan alta como un hombre. De este modo, al pasar personas cargadas por el pasillo, tan sólo serán proyectadas por el fuego sobre la pared del fondo las sombras de las cargas que ellos trans-

porten, pero no sus propias sombras. Además, la pared del fondo tiene eco, de modo que las palabras pronunciadas por los porteadores parecen venir de ella (un Platón de nuestro siglo hubiera supuesto un micrófono conectado con un altavoz). Hay una "larga entrada, abierta a la luz, que se extiende a lo ancho de toda la caverna". Es decir, que es posible salir a la luz del sol desde la cueva —en otro caso, los encadenados estarían condenados a cautividad perpetua—, pero para ello hay que recorrer un largo y escarpado camino; cosa natural, pues si la entrada de la caverna estuviera cercana al fuego, la luz del sol que por ella penetrase haría inútil el empleo de la hoguera como medio de proyección. El plano de la caverna vendría a ser el siguiente, en que *jk* representa el εἴσοδος (la entrada); *ef*, el ὁδός (pasillo por que pasan en una dirección los porteadores); *gh*, el τειχίον (paredilla); *ab*, la fila de δεσμῶται (prisioneros, que sólo pueden mirar en la dirección indicada); *cd*, τὸ καταντικρύ (la pared del fondo); *i*, en fin, el fuego (φῶς).



La "sala de butacas" de este primitivo cinematógrafo de la caverna es a la parte de la cueva por la que pasan los verdaderos objetos y al fuego situado tras ellos (que es a la vez visible y causa de la visión) como las sombras y reflejos del exterior a los objetos del exterior y al sol que los ilumina (que es también visible y causa de la visión). Y la caverna entera es al mundo visible como la imagen al objeto.

Y, si transportamos esta proporción a un plano más elevado, el mundo de reflejos y sombras del exterior es a los objetos del exterior y al sol que los ilumina como el mundo de los seres conocidos mediante hipótesis al mundo de las ideas puras y a la idea del bien que las engendra. Y el mundo visible es al mundo inteligible como la imagen al objeto.

La ascensión, naturalmente, se verifica de modo gradual. Primero, el cautivo no ve más que sombras; después, se vuelve de espaldas a ellas y examina cara a cara las cosas transportadas y el

fuego; luego, abandona la caverna y contempla las sombras y reflejos; y, por último, vislumbra los objetos mismos y el propio sol. A estos cuatro estados corresponden cuatro operaciones del alma: al primero, la imaginación (εἰκασία), con la cual son interpretadas las imágenes y sombras; al segundo, la creencia (πίστις); al primero y segundo juntos, la opinión (δόξα), que es a la vez ignorancia (ἀπαιδευσία); al tercero, la διάνοια; al cuarto, el conocimiento en sentido estricto o conocimiento de la inteligencia pura (νοῦς o νόησις); y al tercero y cuarto juntos, el conocimiento en sentido lato (ἐπιστήμη), que es también educación (παιδεία).

El alma está naturalmente dotada para contemplar el bien, y tiene incluso su órgano visual, pero un órgano que, mal dirigido, no mira adonde debería mirar. La educación será, pues, el arte de lograr que este órgano se vuelva a la contemplación del bien; y los felices mortales a quienes se dote de esta visión superior tendrán que arrancarse a tan dichoso estado para gobernar en la caverna a sus antiguos compañeros de esclavitud.

El que relata la conversación en primera persona es Sócrates; y su interlocutor, Glaucón, hermano de Platón con quien se supone que dialoga.

Estos párrafos de *La república* debieron de ser escritos entre los años 374 y 367.

514 *a* «Μετὰ ταῦτα δή», εἶπον, «ἀπείκασον τοιούτῳ πάθει [1] τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι καὶ ἀπαιδευσίας. Ἰδὲ [2] γὰρ ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει σπηλαιώδει, ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴσοδον ἐχούσῃ μακρὰν παρ' ἅπαν τὸ σπήλαιον, ἐν ταύτῃ ἐκ παίδων [3] ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη [4] καὶ τοὺς αὐχέ-
b νας [4], ὥστε μένειν τε αὐτοῦ [5] εἴς τε τὸ πρόσθεν μόνον ὁρᾶν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους [6] περιάγειν, φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόρρωθεν καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδόν, παρ' ἣν ἴδε [2] τειχίον παρῳκοδομημένον, ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων [7] πρόκειται τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν».

---

[1] "Escena, situación". — [2] Imperativo. — [3] Temporal. — [4] *Acusativo de relación.* — [5] Adverbio. — [6] Súplase (ὄντας). — [7] Del público. — [8] "Estatuas de

«Ὁρῶ», ἔφη.

«Ὅρα τοίνυν παρὰ τοῦτο τὸ τειχίον φέροντας ἀνθρώπους c
σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ τειχίου καὶ ἀνδριάντας καὶ 515
ἄλλα ζῷα [8] λίθινά [9] τε καὶ ξύλινα [9] καὶ παντοῖα [9] εἰργασμένα, οἷον εἰκὸς [10] τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας [11] τῶν παραφερόντων».

«Ἄτοπον», ἔφη, «λέγεις εἰκόνα καὶ δεσμώτας ἀτόπους».

«Ὁμοίους ἡμῖν», ἦν δ' ἐγώ· «τοὺς γὰρ τοιούτους πρῶτον μὲν ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν τι ἑωρακέναι [12] ἄλλο πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς εἰς τὸ καταντικρὺ αὐτῶν τοῦ σπηλαίου [13] προσπιπτούσας;»

«Πῶς γάρ», ἔφη, «εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν ἠναγκασμένοι εἶεν διὰ βίου;» b

«Τί δὲ [14] τῶν παραφερομένων; Οὐ ταὐτὸν [10] τοῦτο;»

«Τί μήν; [15]»

«Εἰ οὖν διαλέγεσθαι οἷοί τ' εἶεν πρὸς ἀλλήλους, οὐ ταῦτα ἡγῇ ἂν τὰ παριόντα αὐτοὺς νομίζειν ὀνομάζειν, ὀνομάζοντας ἅπερ ὁρῷεν; [16]»

«Ἀνάγκη».

«Τί δ' [17] εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ ἔχοι; Ὁπότε τις τῶν παριόντων φθέγξαιτο, οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι [12] τὸ φθεγγόμενον ἢ [18] τὴν παριοῦσαν σκιάν;»

«Μὰ Δί' οὐκ ἔγωγ' [19]», ἔφη.

«Παντάπασι δή», ἦν δ' ἐγώ, «οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο τι νομίζοιεν τὸ ἀληθὲς ἢ τὰς τῶν σκευαστῶν σκιάς». c

«Πολλὴ ἀνάγκη», ἔφη.

«Σκόπει δή», ἦν δ' ἐγώ, «αὐτῶν λύσιν [20] τε καὶ ἴασιν [20] τῶν δε-

---

hombres y animales". — [9] Predicado. — [10] "(Es)". — [11] "Los unos... los otros..." (aposición a φέροντας ἀνθρώπους; τῶν παραφερόντων es reiterativo). — [12] Potencial. — [13] Partitivo. — [14] "(Con respecto a)". — [15] "¿Cómo no va a serlo?". — [16] "¿No crees que ellos pensarían estar dando nombres a lo que (verdaderamente) pasara cuando dieran nombres a lo que vieran?". — [17] "(Pasaría)". — [18] "Que era otra cosa la que hablaba sino". — [19] "(Lo creo)". — [20] Prolepsis. — [21] "Conforme a naturaleza"; parece que Platón considera la es-

σμῶν καὶ τῆς ἀφροσύνης, οἷα τις ἂν εἴη, εἰ φύσει [21] τοιάδε συμβαί-
νοι αὐτοῖς· ὁπότε τις λυθείη καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί
τε καὶ περιάγειν τὸν αὐχένα καὶ βαδίζειν καὶ πρὸς τὸ φῶς ἀνα-
βλέπειν, πάντα δὲ ταῦτα ποιῶν ἀλγοῖ [21] τε καὶ διὰ τὰς μαρμαρυ-
d γὰς ἀδυνατοῖ [22] καθορᾶν ἐκεῖνα ὧν τότε [23] τὰς σκιὰς ἑώρα, | τί
ἂν οἴει αὐτὸν εἰπεῖν [12], εἴ τις αὐτῷ λέγοι ὅτι τότε [23] μέν ἑώρα
φλυαρίας, νῦν δὲ μᾶλλόν τι [24] ἐγγυτέρω τοῦ ὄντος καὶ πρὸς μᾶλλον
ὄντα τετραμμένος ὀρθότερον [25] βλέποι [26], καὶ δὴ καὶ ἕκαστον τῶν
παριόντων δεικνὺς αὐτῷ ἀναγκάζοι ἐρωτῶν ἀποκρίνεσθαι ὅ τι
ἔστιν; Οὐκ οἴει αὐτὸν ἀπορεῖν [12] τε ἂν καὶ ἡγεῖσθαι [12] τὰ τότε ὁρώ-
μενα ἀληθέστερα ἢ τὰ νῦν δεικνύμενα;»

«Πολύ γ'», ἔφη.

e «Οὐκοῦν κἂν εἴ πρός αὐτὸ τὸ φῶς ἀναγκάζοι αὐτὸν βλέπειν [27],
ἀλγεῖν [28] τε ἂν τὰ ὄμματα [4] καὶ φεύγειν ἀποστρεφόμενον πρὸς
ἐκεῖνα ἃ δύναται καθορᾶν, καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα
τῶν δεικνυμένων; [29]»

«Οὕτως», ἔφη.

«Εἰ δέ», ἦν δ' ἐγώ, «ἐντεῦθεν [30] ἕλκοι τις αὐτὸν βίᾳ διὰ τραχείας
τῆς ἀναβάσεως καὶ ἀνάντους, καὶ μὴ ἀνείη πρὶν ἐξελκύσειεν [31]
εἰς τὸ τοῦ ἡλίου φῶς, ἆρα οὐχὶ [32] ὀδυνᾶσθαί [12] τε ἂν καὶ ἀγα-
516 a νακτεῖν [12] ἑλκόμενον, καὶ ἐπειδὴ πρὸς τὸ φῶς ἔλθοι [31], αὐγῆς ἂν
ἔχοντα [33] τὰ ὄμματα μεστὰ ὁρᾶν οὐδ' ἂν ἓν δύνασθαι [12] τῶν νῦν [34]
λεγομένων ἀληθῶν; [13]»

«Οὐ γὰρ ἄν [35]», ἔφη, «ἐξαίφνης γε».

«Συνηθείας δή, οἶμαι, δέοιτ' ἄν, εἰ μέλλοι τὰ ἄνω ὄψεσθαι. Καὶ πρῶτον μὲν τὰς σκιὰς ἂν ῥᾷστα καθορῷ [22], καὶ μετὰ τοῦτο ἐν τοῖς ὕδασι τά τε τῶν ἀνθρώπων καὶ τὰ τῶν ἄλλων εἴδωλα, ὕστερον

---

tancia en la caverna como un estado antinatural del hombre, y su ascensión, como un retorno a su verdadera naturaleza. — [22] Tercera pers. sing. opt. — [23] "Hacía un momento". — [24] "(Estando)". — [25] Adverbial. — [26] Optativo oblicuo en la oración de ὅτι, que termina aquí para ser sucedida por otra condicional. — [27] Súplase (οὐκ οἴει). — [28] Id. (αὐτόν). — [29] De comparación. — [30] Desde la caverna donde está ya liberado. — [31] Optativo por atracción modal. — [32] "(Crees)". — [33] Causal. — [34] En este estadio todavía inferior del conoci-

δὲ αὐτά[36]· ἐκ δὲ τούτων τὰ ἐν τῷ οὐρανῷ καὶ αὐτὸν τὸν οὐρανὸν νόκτωρ ἂν ῥᾷον θεάσαιτο, προσβλέπων τὸ τῶν ἄστρων τε καὶ σελήνης φῶς, ἢ μεθ' ἡμέραν τὸν ἥλιόν τε καὶ τὸ τοῦ ἡλίου[37]». *b*

«Πῶς δ' οὔ;»

«Τελευταῖον δή, οἶμαι, τὸν ἥλιον, οὐκ ἐν ὕδασιν οὐδ' ἐν ἀλλοτρίᾳ ἕδρᾳ φαντάσματα αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν ἐν τῇ αὑτοῦ χώρᾳ δύναιτ' ἂν κατιδεῖν καὶ θεάσασθαι οἷός ἐστιν».

«Ἀναγκαῖον», ἔφη.

«Καὶ μετὰ ταῦτ' ἂν ἤδη συλλογίζοιτο περὶ αὐτοῦ[38] ὅτι οὗτος[10] ὁ τάς τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς καὶ πάντα ἐπιτροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ, καὶ ἐκείνων ὧν[39] σφεῖς[40] ἑώρων τρόπον *c*
τινὰ[41] *πάντων* αἴτιος».

«Δῆλον», ἔφη, «ὅτι ἐπὶ ταῦτα ἂν μετ' ἐκεῖνα ἔλθοι».

«Τί οὖν; Ἀναμιμνησκόμενον αὐτὸν τῆς πρώτης οἰκήσεως καὶ τῆς ἐκεῖ σοφίας καὶ τῶν τότε συνδεσμωτῶν οὐκ ἂν οἴει αὐτὸν μὲν εὐδαιμονίζειν[12] τῆς μεταβολῆς, τοὺς δὲ ἐλεεῖν;[12]»

«Καὶ μάλα».

«Τιμαὶ δὲ καὶ ἔπαινοι εἴ τινες αὐτοῖς[42] ἦσαν τότε[43] παρ' ἀλλήλων καὶ γέρα[44] τῷ ὀξύτατα καθορῶντι τὰ παριόντα, καὶ μνημονεύοντι μάλιστα ὅσα τε πρότερα αὐτῶν[13] καὶ ὕστερα εἰώθει καὶ *d*
ἅμα πορεύεσθαι, καὶ ἐκ τούτων δὴ δυνατώτατα ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν, δοκεῖς ἂν αὐτὸν[45] ἐπιθυμητικῶς αὐτῶν ἔχειν καὶ ζηλοῦν τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυναστεύοντας, ἢ τὸ τοῦ Ὁμήρου ἂν πεπονθέναι[46] καὶ σφόδρα βούλεσθαι ἐπάρουρον ἐόντα θητευέμεν[47] ἄλλῳ ἀνδρὶ παρ' ἀκλήρῳ' καὶ ὁτιοῦν *7*
ἂν πεπονθέναι μᾶλλον ἢ 'κεῖνά τε δοξάζειν[48] καὶ ἐκείνως ζῆν;»

---

miento. — [35] "(Sería capaz)". — [36] "Los objetos mismos". — [37] "Lo que es propio del sol". — [38] El sol. — [39] Atracción del relativo. — [40] El antiguo recluso y sus compañeros de caverna. — [41] "En cierto modo". — [42] Posesivo. — [43] En la caverna. — [44] Nominativo plural. — [45] El liberado. — [46] "O que le pasaría lo de Homero", es decir, lo de Aquiles en Homero *(Od.* XI 489-490), cuya sombra dice en el Hades que cualquier cosa es preferible a la estancia allí. — [47] Infinitivo épico de θητεύω. — [48] "Conjeturar de aquel modo", tan a ciegas

e «Οὕτως», ἔφη, «ἔγωγε οἶμαι, πᾶν μᾶλλον[28] πεπονθέναι ἂν δέξασθαι ἢ ζῆν ἐκείνως».

«Καὶ τόδε δὴ ἐννόησον», ἦν δ' ἐγώ. «Εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θᾶκον καθίζοιτο, ἆρ' οὐ σκότους ‹ἂν› ἀνάπλεως[49] σχοίη[22] τοὺς ὀφθαλμούς, ἐξαίφνης ἥκων[33] ἐκ τοῦ ἡλίου;»

«Καὶ μάλα γ'», ἔφη.

«Τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν γνωματεύοντα διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις ἐκείνοις[50], ἐν ᾧ[51] ἀμβλυώττει,
517 a πρὶν καταστῆναι[52] τὰ ὄμματα, οὗτος δ' ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς συνηθείας[53], ἆρ' οὐ γέλωτ' ἂν παράσχοι, καὶ λέγοιτο ἂν περὶ αὐτοῦ ὡς ἀναβὰς ἄνω διεφθαρμένος ἥκει τὰ ὄμματα[4], καὶ ὅτι οὐκ ἄξιον[54] οὐδὲ πειρᾶσθαι ἄνω ἰέναι; Καὶ[55] τὸν ἐπιχειροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν καὶ ἀποκτείνειν, ἀποκτιννύναι ἄν; [56]»

«Σφόδρα γ'», ἔφη.

«Ταύτην τοίνυν», ἦν δ' ἐγώ, «τὴν εἰκόνα, ὦ φίλε Γλαύκων, προσ-
b απτέαν[57] ἅπασαν τοῖς ἔμπροσθεν λεγομένοις, τὴν μὲν δι' ὄψεως φαινομένην[58] ἕδραν τῇ τοῦ δεσμωτηρίου[59] οἰκήσει ἀφομοιοῦντα[60], τὸ δὲ τοῦ πυρὸς ἐν αὐτῇ φῶς τῇ τοῦ ἡλίου δυνάμει· τὴν δὲ ἄνω ἀνάβασιν καὶ θέαν τῶν ἄνω τὴν εἰς τὸν νοητὸν τόπον τῆς ψυχῆς ἄνοδον τιθεὶς[61] οὐχ ἁμαρτήσῃ τῆς γ' ἐμῆς ἐλπίδος[62], ἐπειδὴ ταύτης[63] ἐπιθυμεῖς ἀκούειν. Θεὸς δέ που οἶδεν εἰ ἀληθὴς οὖσα τυγχάνει. Τὰ δ' οὖν ἐμοὶ φαινόμενα[64] οὕτω φαίνεται, ἐν τῷ γνωστῷ τε-
c λευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν

---

como en la caverna. — [49] Acusativo plural. — [50] Con los que habían permanecido constantemente encadenados. — [51] "Mientras". — [52] "De que se le adaptaran (a la oscuridad)". — [53] Frase parentética. — [54] "Vale la pena". — [55] "(No crees que)"; la oración de infinitivo se explica por el οὐκ οἴει y el δοκεῖς de arriba. — [56] El sujeto es "los encadenados". — [57] Súplase (ἐστί). — [58] "La región revelada por medio de la vista". — [59] Apositivo. — [60] En acusativo masculino como si en vez de de προσαπτέον (ἐστί) tuviéramos un χρὴ προσάπτειν. — [61] "Y si comparas la subida al mundo de arriba... con la ascensión del alma hasta la región inteligible". — [62] "No errarás con respecto a mi vislumbre". — [63] Genitivo con verbos de "oír". — [64] Literalmente "y lo que a mí me parece,

αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον [65] τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη, καὶ ὅτι δεῖ [66] ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ».

«Συνοίομαι», ἔφη, «καὶ ἐγώ, ὅν γε δὴ τρόπον [67] δύναμαι».

«Ἴθι τοίνυν [68]», ἦν δ' ἐγώ, «καὶ τόδε συνοιήθητι καὶ μὴ θαυμάσῃς ὅτι οἱ ἐνταῦθα ἐλθόντες οὐκ ἐθέλουσιν τὰ τῶν ἀνθρώπων πράττειν, ἀλλ' ἄνω ἀεὶ ἐπείγονται αὐτῶν αἱ ψυχαὶ διατρίβειν· d
εἰκὸς [10] γάρ που οὕτως, εἴπερ αὖ κατὰ τὴν προειρημένην εἰκόνα τοῦτ' ἔχει».

«Εἰκὸς μέντοι» [10], ἔφη.

«Τί δέ; Τόδε οἴει τι [25] θαυμαστόν, εἰ [69] ἀπὸ θείων», ἦν δ' ἐγώ, «θεωριῶν ἐπὶ τὰ ἀνθρώπειά τις ἐλθὼν κακὰ ἀσχημονεῖ τε καὶ φαίνεται σφόδρα γελοῖος ἔτι ἀμβλυώττων καί, πρὶν ἱκανῶς συνήθης γενέσθαι τῷ παρόντι σκότῳ, ἀναγκαζόμενος ἐν δικαστηρίοις ἢ ἄλλοθί που ἀγωνίζεσθαι περὶ τῶν τοῦ δικαίου σκιῶν ἢ ἀγαλμάτων ὧν αἱ σκιαί [70], καὶ διαμιλλᾶσθαι περὶ τούτου, ὅπῃ [71] ποτὲ ὑπολαμβάνεται ταῦτα ὑπὸ τῶν αὐτὴν [72] δικαιοσύνην μὴ πώποτε ἰδόντων;» e

«Οὐδ' ὁπωστιοῦν θαυμαστόν», ἔφη.

«Ἀλλ' εἰ νοῦν γε ἔχοι τις», ἦν δ' ἐγώ, «μεμνῆτ' ἂν ὅτι διτταὶ 518 a
καὶ ἀπὸ διττῶν γίγνονται [73] ἐπιταράξεις ὄμμασιν, ἔκ τε φωτὸς εἰς σκότος μεθισταμένων [74] καὶ ἐκ σκότους εἰς φῶς. Ταὐτὰ δὲ ταῦτα νομίσας γίγνεσθαι καὶ περὶ ψυχήν, ὁπότε ἴδοι [75] θορυβουμένην τινὰ καὶ ἀδυνατοῦσάν τι καθορᾶν, οὐκ ἂν ἀλογίστως γελῷ [22], ἀλλ' ἐπισκοποῖ [22] ἂν πότερον [76] ἐκ φανοτέρου βίου ἥκουσα [33] ὑπὸ ἀηθείας b

---

me lo parece del siguiente modo: en el mundo inteligible, ser percibida la idea del bien la última y con trabajo y, una vez vista, haber de ser concebida como...". — [65] El sol. — [66] Con un brusco cambio sintáctico, "y (me parece) que es menester". — [67] "Al menos en el grado en que". — [68] "Ea, pues". — [69] La condicional, de valor muy débil, es una especie de aposición a τόδε: "el hecho de que...". — [70] "O de las imágenes de que las sombras (son reflejo)". — [71] Interrogativa indirecta, aposición a τοῦτου. — [72] "En sí". — [73] "Son dos las maneras y dos las causas por las cuales se producen". — [74] Genitivo absoluto temporal. — [75] "(Uno)". — [76] "Si". — [77] El alma que viene de la ignorancia. —

ἐσκότωται, ἢ ἐξ ἀμαθίας πλείονος εἰς φανότερον ἰοῦσα [33] ὑπὸ λαμπροτέρου μαρμαρυγῆς ἐμπέπληται, καὶ οὕτω δὴ τὴν μὲν εὐδαιμονίσειεν ἂν τοῦ πάθους [33] τε καὶ βίου [33], τὴν δὲ ἐλεήσειεν, καὶ εἰ γελᾶν ἐπ' αὐτῇ [77] βούλοιτο, ἧττον ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη ἢ ὁ ἐπὶ τῇ ἄνωθεν ἐκ φωτὸς ἡκούσῃ».

«Καὶ μάλα», ἔφη, «μετρίως λέγεις».

«Δεῖ δή», εἶπον, «ἡμᾶς τοιόνδε [78] νομίσαι περὶ αὐτῶν, εἰ ταῦτ' ἀληθῆ· τὴν παιδείαν οὐχ οἵαν τινὲς ἐπαγγελλόμενοί φασιν εἶναι
c τοιαύτην καὶ εἶναι [79]. Φασὶ δέ που οὐκ ἐνοῦσης ἐν τῇ ψυχῇ ἐπιστήμης [80] σφεῖς ἐντιθέναι, οἷον τυφλοῖς ὀφθαλμοῖς ὄψιν ἐντιθέντες».

«Φασὶ γάρ οὖν», ἔφη.

«Ὁ δέ γε νῦν λόγος», ἦν δ' ἐγώ, «σημαίνει ταύτην τὴν ἐνοῦσαν ἑκάστου δύναμιν ἐν τῇ ψυχῇ καὶ τὸ ὄργανον ᾧ καταμανθάνει ἕκαστος, οἷον εἰ ὄμμα μὴ δυνατὸν ἦν ἄλλως ἢ σὺν ὅλῳ τῷ σώματι στρέφειν πρὸς τὸ φανόν ἐκ τοῦ σκοτώδους, οὕτω σὺν ὅλῃ τῇ ψυχῇ ἐκ τοῦ γιγνομένου περιακτέον εἶναι, ἕως ἂν εἰς τὸ ὂν καὶ τοῦ ὄντος τὸ φανότατον δυνατὴ γένηται ἀνασχέσθαι θεωμένη· τοῦτο δ' εἶναί
d φαμεν τἀγαθόν [81]. Ἦ γάρ;»

«Ναί».

«Τούτου τοίνυν», ἦν δ' ἐγώ, «αὐτοῦ τέχνη ἂν εἴη, τῆς περιαγωγῆς, τίνα τρόπον ὡς ῥᾷστά τε καὶ ἀνυσιμώτατα μεταστραφήσεται [82], οὐ τοῦ ἐμποιῆσαι αὐτῷ τὸ ὁρᾶν, ἀλλ' ὡς ἔχοντι μὲν αὐτό, οὐκ ὀρθῶς δὲ τετραμμένῳ οὐδὲ βλέποντι οἷ ἔδει, τοῦτο [83] διαμηχανήσασθαι».

---

[78] Anticipación de la oración de infinitivo. — [79] "Que la educación no es tal como algunos, en sus proclamas, dicen que es"; se refiere a los sofistas, que usaban mucho del verbo ἐπαγγέλλομαι aplicado a anuncios o proclamas de sus actividades. — [80] Genitivo absoluto. — [81] "Muestra que, del mismo modo que el ojo no es posible que se vuelva sino con el cuerpo entero desde la tiniebla a la luz, así esta facultad, que existe en el alma de cada uno (y que no hay, por tanto, que implantarla, como dicen los sofistas), y el órgano con que cada cual aprende (la razón) deben volverse (como en el escenario giratorio llamado περίακτοι) con el alma entera, apartándose de lo que cambia y degenera, hasta que sean capaces de afrontar la contemplación del ser y aun de la parte más brillante del ser, que es aquello a lo que llamamos bien". — [82] La interrogativa in-

«"Εοικεν γάρ», ἔφη.

«Αἱ μὲν τοίνυν ἄλλαι ἀρεταὶ καλούμεναι ψυχῆς κινδυνεύουσιν ἐγγύς τι εἶναι [84] τῶν τοῦ σώματος —τῷ ὄντι γὰρ οὐκ ἐνοῦσαι [85] πρότερον ὕστερον ἐμποιεῖσθαι [86] ἕθεσι καὶ ἀσκήσεσιν— ἡ δὲ τοῦ φρονῆσαι παντὸς μᾶλλον θειοτέρου τινὸς [87] τυγχάνει, ὡς ἔοικεν, οὖσα, ᾧ τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμόν τε καὶ ὠφέλιμον καὶ ἄχρηστον αὖ καὶ βλαβερὸν γίγνεται. "Η οὔπω ἐννενόηκας, τῶν λεγομένων πονηρῶν μέν, σοφῶν δέ, ὡς δριμὺ [25] μὲν βλέπει τὸ ψυχάριον καὶ [88] ὀξέως διορᾷ ταῦτα ἐφ' ἃ τέτραπται, ὡς οὐ φαύλην ἔχον τὴν ὄψιν, κακίᾳ δ' ἠναγκασμένον ὑπηρετεῖν, ὥστε ὅσῳ ἂν ὀξύτερον [25] βλέπῃ, τοσούτῳ πλείω κακὰ ἐργαζόμενον; [89]»

«Πάνυ μὲν οὖν», ἔφη.

«Τοῦτο μέντοι», ἦν δ' ἐγώ, «τὸ τῆς τοιαύτης φύσεως [90] εἰ ἐκ παιδὸς [3] εὐθὺς κοπτόμενον [91] περιεκόπη [92] τὰς τῆς γενέσεως συγγενεῖς ὥσπερ μολυβδίδας [93], αἳ δὴ ἐδωδαῖς τε καὶ τοιούτων ἡδοναῖς τε καὶ λιχνείαις προσφυεῖς γιγνόμεναι κάτω στρέφουσι τὴν τῆς ψυχῆς ὄψιν [94]· ὧν εἰ ἀπαλλαγὲν περιεστρέφετο [92] εἰς τὰ ἀληθῆ, καὶ [95] ἐκεῖνα ἂν τὸ αὐτὸ τοῦτο [96] τῶν αὐτῶν ἀνθρώπων [97] ὀξύτατα ἑώρα, ὥσπερ καὶ [98] ἐφ' ἃ νῦν τέτραπται».

«Εἰκός γε», ἔφη.

«Τί δέ; Τόδε οὐκ εἰκός», ἦν δ' ἐγώ, «καὶ ἀνάγκη ἐκ τῶν προειρημένων, μήτε τοὺς ἀπαιδεύτους καὶ ἀληθείας ἀπείρους ἱκανῶς ἄν ποτε πόλιν ἐπιτροπεῦσαι [99], μήτε τοὺς ἐν παιδείᾳ ἐωμένους διατρί-

---

directa describe lo que se propone el arte de la περιαγωγή. — [83] "(Un arte del) procurar esto (esta posibilidad de girar) a quien lo tiene (el ver)". — [84] "Es posible que sean bastante parecidas a". — [85] Concesivo. — [86] "Son producidas" (infinitivo, porque, aun después del γάρ, sigue dependiendo de κινδυνεύουσιν). [87] Súplase (ἐγγύς). — [88] Súplase (ὡς). — [89] Sería de esperar infinitivo, pero el participio se debe a analogía de los anteriores. — [90] Hasta aquí el sujeto de περιεκόπη: algo así como "el ser de tal naturaleza". — [91] No es necesario traducirlo. — [92] Irreal. — [93] Acusativo que, si el verbo estuviera en activa, sería de parte con respecto a otro de totalidad. — [94] Anacoluto. — [95] "También". — [96] "Ese mismo ser". — [97] Partitivo. — [98] "También (aquellas cosas)". — [99] Po-

βειν διὰ τέλους [100], τοὺς μὲν ὅτι σκοπὸν ἐν τῷ βίῳ οὐκ ἔχουσιν ἕνα, οὗ [101] στοχαζομένους δεῖ ἅπαντα πράττειν ἃ ἂν πράττωσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, τοὺς δὲ ὅτι ἑκόντες εἶναι οὐ πράξουσιν [102], ἡγούμενοι ἐν μακάρων νήσοις ζῶντες ἔτι ἀπῳκίσθαι;»

«Ἀληθῆ», ἔφη.

«Ἡμέτερον δὴ ἔργον [103]», ἦν δ' ἐγώ, «τῶν οἰκιστῶν τάς τε βελτίστας φύσεις ἀναγκάσαι ἀφικέσθαι πρὸς τὸ μάθημα ὃ ἐν τῷ
d πρόσθεν ἔφαμεν εἶναι μέγιστον, ἰδεῖν τε τὸ ἀγαθὸν καὶ ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν [103], καὶ ἐπειδὰν ἀναβάντες ἱκανῶς ἴδωσι, μὴ ἐπιτρέπειν αὐτοῖς ὃ νῦν ἐπιτρέπεται».

«Τὸ ποῖον δή;»

«Τὸ αὖτοῦ [5]», ἦν δ' ἐγώ, «καταμένειν καὶ μὴ ἐθέλειν πάλιν καταβαίνειν παρ' ἐκείνους τοὺς δεσμώτας μηδὲ μετέχειν τῶν παρ' ἐκείνοις πόνων τε καὶ τιμῶν, εἴτε φαυλότεραι εἴτε σπουδαιότεραι [104]».

---

tencial; aposición a τόδε. — [100] "Ni tampoco aquellos a quienes en la educación se deje seguir estudiando hasta el fin". — [101] Genitivo con verbos de "aspirar a". — [102] "Voluntariamente no actuarán (en política)". — [103] Acusativo interno. — [104] "(Sean)".

Justicia y felicidad

(Gorg. 474 c - 478 e)

El razonamiento del diálogo *Gorgias* es un poco difícil de seguir, porque en él se entrelazan, con frecuentes alusiones a la inicua condena de Sócrates, dos temas al parecer dispares: qué es la retórica (lo mismo que en diálogos de la primera época, como el *Laques* o el *Cármides*, se trata de definir las virtudes de la ἀνδρεία o σωφροσύνη) y cómo hay que vivir para ser feliz. En realidad, las dos cuestiones no están tan lejanas entre sí; la retórica, arte práctico de influir en otros hombres mediante la palabra, era garantía cierta de éxito en la vida, pero lo que se trata de investigar, según el criterio de Sócrates, es si ese éxito aparente del retor le proporciona verdaderamente la felicidad.

La discusión se lleva a cabo en lo que pudiéramos llamar tres oleadas de ataque contra Sócrates. En la primera, Gorgias, el famoso sofista, llega, tras muchos tanteos fallidos, a una definición de la retórica y a una aporía, pues mientras sostiene que, por principio, un retórico no puede actuar de modo inmoral, dice en otro momento que el maestro de retórica no debe ser culpado si alguno de sus alumnos hace mal uso de ella.

Ante el embarazo de Gorgias, interviene Polo de Acragante, zafio y mediocre retor, que comete el error capital de separar, al principio de nuestro trozo, lo καλόν, lo que está bien a los ojos de las gentes, de lo ἀγαθόν, lo que realmente es ventajoso para el individuo. Se trata, en definitiva, de identificar la felicidad con el prestigio, como en el caso de Arquelao, rey de Macedonia, a quien acaba de citar como autor de los mayores crímenes y, sin embargo, personaje dichoso y opulento. El dilema no podía resolverse más que planteado en sus verdaderos términos, en la última parte del diálogo, por Sócrates y su tercero y más temible antagonista, Calicles, de quien no sabemos más que lo que esta obra nos indica. Para Calicles, precursor de Nietzsche con su concepto del superhombre representante de una moral de los señores frente a la moral de los esclavos, no puede llamarse moral sino a lo que coincide con nuestro interés; para Sócrates, en cambio, no puede decirse que coincida con nuestro interés sino lo que es moral.

Los errores de Polo proporcionan un fácil triunfo a su interlocutor, cuya argumentación, por otra parte, dista mucho de ser irreprochable en este pasaje.

El razonamiento es el siguiente: es peor o menos ventajoso (κάκιον) recibir injusticia que cometerla; pero es más feo (αἰσχιον) cometerla que recibirla. Ahora bien, cuando llamamos a algo bello (καλόν) es o porque es útil (χρήσιμον) o porque causa placer (ἡδονή) o por ambas cosas; y es feo (αἰσχρόν) lo que produce daño (κακόν) o dolor (λύπη). Si cometer injusticia es más feo que recibirla, como no puede decirse que tal comisión sea más dolorosa que el sufrirla, hay que admitir por fuerza que es más dañina, esto es, que es peor, contra lo que antes se dijo, cometer injusticia que ser objeto de ella.

A continuación se pasa a otra cuestión: el recibir un culpable su castigo es peor o menos ventajoso que el no recibirlo. Ahora bien, lo justo es bello; el castigar justamente es bello; luego el ser castigado con justicia es bello también. Pero se dijo que lo bello es o lo placentero o lo útil; el ser castigado no produce placer; luego

produce utilidad; luego el castigado, contra lo sostenido por Polo, obtiene una ventaja. Esta ventaja consiste en librarse de un vicio del alma, que es para ésta como la pobreza para el patrimonio y la enfermedad para el cuerpo; mas el mal del alma es el que aventaja a todos en fealdad; luego o causa dolor o causa daño; ahora bien, el tener vicios no causa dolor; luego es el perjuicio mayor que pueda concebirse. De la pobreza libran los negocios; de la enfermedad, la medicina; del vicio, el castigo. La medicina es bella, pero no placentera para el enfermo; luego es útil; pero la justicia es más bella y, por tanto, más útil. Lo mejor es no estar enfermo; después, haber estado y curarse; por último, no curarse; pues, del mismo modo, lo mejor es no ser malo; después, haber sido castigado apartándose así del vicio; y finalmente, la más desgraciada de las situaciones, la del que, por no sufrir su pena, como Arquelao, está sumido en la iniquidad.

Ahora bien, Polo pudo haber objetado que lo feo produce daño a la comunidad, a la que desagrada y ofende, pero no forzosamente al agente de la injusticia; que un castigo justo es bello y sano para la comunidad, pero no para el castigado; y que es dudoso, como lo demuestran los infinitos delincuentes reincidentes, que la pena cause un beneficioso efecto medicinal sobre el hombre. Lo que ocurre es que el propio Polo, a diferencia de Calicles, siente de modo instintivo admiración hacia la justicia y, con ello, inconscientemente, ayuda a su contrincante incluso en su terminología, como cuando, en 475 *a*, sustituye χρείᾳ u ὠφελείᾳ ("utilidad") por ἀγαθῷ, el bien tomado en sentido general.

474 *c* ΣΩΚΡΑΤΗΣ. Λέγε δή μοι, ἵν' εἰδῇς, ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς[1] σε ἠρώτων· πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκιον εἶναι τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι;

ΠΩΛΟΣ. Τὸ ἀδικεῖσθαι ἔμοιγε[2].

ΣΩ. Τί δὲ δή αἴσχιον; Πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; Ἀποκρίνου.

ΠΩΛ. Τὸ ἀδικεῖν.

ΣΩ. Οὐκοῦν καὶ[3] κάκιον, εἴπερ αἴσχιον.

ΠΩΛ. Ἥκιστά γε.

---

[1] "Empezando de nuevo". — [2] Súplase (δοκεῖ). — [3] "Entonces también". —

ΣΩ. Μανθάνω· οὐ ταὐτόν ἡγῇ σύ, ὡς ἔοικας, καλόν τε καὶ *d*
ἀγαθόν, καὶ κακὸν καὶ αἰσχρόν.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Τί δὲ τόδε; Τὰ καλὰ πάντα, οἷον καὶ σώματα καὶ χρώματα καὶ σχήματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα, εἰς οὐδὲν ἀποβλέπων[4] καλεῖς ἑκάστοτε καλά; Οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ τὴν χρείαν λέγεις καλὰ εἶναι, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο[5], ἢ κατὰ ἡδονήν τινα, ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας; Ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος κάλλους;

ΠΩΛ. Οὐκ ἔχω. *e*

ΣΩ. Οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφελίαν ἢ δι' ἀμφότερα καλὰ προσαγορεύεις;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν πάντα ὡσαύτως;

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ μὴν τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα οὐ δήπου[6] ἐκτὸς τούτων ἐστί, τὰ καλά[7], τοῦ[8] ἢ ὠφέλιμα εἶναι ἢ ἡδέα ἢ ἀμφότερα.

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν καὶ τὸ τῶν μαθημάτων κάλλος[9] ὡσαύτως; *475 a*

ΠΩΛ. Πάνυ γε· καὶ καλῶς γε νῦν ὁρίζῃ, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ ὁριζόμενος τὸ καλόν.

ΣΩ. Οὐκοῦν[10] τὸ αἰσχρὸν τῷ ἐναντίῳ, λύπῃ τε καὶ κακῷ;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ὅταν ἄρα δυοῖν καλοῖν θάτερον[11] κάλλιον ᾖ, ἢ τῷ ἑτέρῳ τούτοιν ἢ ἀμφοτέροις ὑπερβάλλον[12] κάλλιόν ἐστιν, ἤτοι ἡδονῇ ἢ ὠφελίᾳ ἢ ἀμφοτέροις.

---

[4] "No mirando a nada", "sin ningún fundamento". — [5] "Según aquello"; τοῦτο es antecedente del ὅ anterior. — [6] "Supongo yo". — [7] En sentido restrictivo; no todas las leyes y costumbres son buenas. — [8] Aposición a τούτων. — [9] "(Es)". — [10] "(Hay que definir)". — [11] "La una". — [12] Causal. — [13] "Entonces..., ¿será

ΠΩΛ. Πάνυ γε.

b ΣΩ. Καὶ ὅταν δὲ δὴ δυοῖν αἰσχροῖν τὸ ἕτερον αἴσχιον ᾖ, ἤτοι λύπῃ ἢ κακῷ ὑπερβάλλον αἴσχιον ἔσται· ἢ οὐκ ἀνάγκη;

ΠΩΛ. Ναί.

ΣΩ. Φέρε δή, πῶς ἐλέγετο νυνδὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι; Οὐκ ἔλεγες τὸ μὲν ἀδικεῖσθαι κάκιον εἶναι, τὸ δὲ ἀδικεῖν αἴσχιον;

ΠΩΛ. Ἔλεγον.

ΣΩ. Οὐκοῦν εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν ἐστι καὶ λύπῃ ὑπερβάλλον αἴσχιον ἂν εἴη ἢ κακῷ ἢ ἀμφοτέροις [13]; Οὐ καὶ τοῦτο ἀνάγκη;

ΠΩΛ. Πῶς γὰρ οὔ;

o ΣΩ. Πρῶτον μὲν δὴ σκεψώμεθα, ἆρα λύπῃ ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, καὶ ἀλγοῦσι μᾶλλον οἱ ἀδικοῦντες ἢ οἱ ἀδικούμενοι;

ΠΩΛ. Οὐδαμῶς, ὦ Σώκρατες, τοῦτό γε.

ΣΩ. Οὐκ ἄρα λύπῃ γε ὑπερέχει.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Οὐκοῦν εἰ μὴ λύπῃ, ἀμφοτέροις [14] μέν οὐκ ἂν ἔτι ὑπερβάλλοι.

ΠΩΛ. Οὐ φαίνεται.

ΣΩ. Οὐκοῦν τῷ ἑτέρῳ λείπεται [15].

ΠΩΛ. Ναί.

ΣΩ. Τῷ κακῷ.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὐκοῦν κακῷ ὑπερβάλλον [12] τὸ ἀδικεῖν κάκιον ἂν εἴη τοῦ ἀδικεῖσθαι.

ΠΩΛ. Δῆλον δὴ ὅτι.

d ΣΩ. Ἄλλο τι οὖν [16] ὑπὸ μὲν τῶν πολλῶν ἀνθρώπων καὶ ὑπὸ σοῦ ὡμολογεῖτο ἡμῖν [17] ἐν τῷ ἔμπροσθεν χρόνῳ [18] αἴσχιον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι;

---

más penoso y más feo por superar (a lo otro) en pena, o (más feo por superarle) en daño, o (más feo por superarle) en ambas cosas?". — [14] "En ambas cosas juntas". — [15] Súplase un sujeto (τὸ ὑπερβάλλειν αὐτοῦ). — [16] "¿No es cierto

ΠΩΛ. Ναί.

ΣΩ. Νῦν δέ γε κάκιον ἐφάνη [19].

ΠΩΛ. Ἔοικε.

ΣΩ. Δέξαιο ἂν οὖν σὺ μᾶλλον τὸ κάκιον καὶ τὸ αἴσχιον ἀντὶ τοῦ ἧττον [20]; Μὴ ὄκνει ἀποκρίνασθαι, ὦ Πῶλε· οὐδὲν γὰρ βλαβήσῃ· ἀλλὰ γενναίως τῷ λόγῳ [21] ὥσπερ ἰατρῷ παρέχων ἀποκρίνου, καὶ ἢ φάθι ἢ μή [22] ἃ ἐρωτῶ.

ΠΩΛ. Ἀλλ' οὐκ ἂν δεξαίμην, ὦ Σώκρατες. *e*

ΣΩ. Ἄλλος δέ τις ἀνθρώπων;

ΠΩΛ. Οὔ μοι δοκεῖ κατά γε τοῦτον τὸν λόγον.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, ὅτι οὔτ' ἂν ἐγὼ οὔτ' ἂν σὺ οὔτ' ἄλλος οὐδεὶς ἀνθρώπων δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖσθαι· κάκιον γὰρ τυγχάνει ὄν.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ὁρᾷς οὖν, ὦ Πῶλε, ὁ ἔλεγχος παρὰ τὸν ἔλεγχον παραβαλλόμενος ὅτι [23] οὐδὲν ἔοικε [24], ἀλλὰ σοὶ μὲν οἱ ἄλλοι πάντες ὁμολογοῦσι πλὴν ἐμοῦ, ἐμοὶ δὲ σὺ ἐξαρκεῖς [25] εἷς ὢν μόνος καὶ ὁμολογῶν καὶ μαρτυρῶν, καὶ ἐγὼ σὲ μόνον ἐπιψηφίζων τοὺς *476 a*
ἄλλους ἐῶ χαίρειν [26]. Καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω· μετὰ τοῦτο δὲ [27] περὶ οὗ τὸ δεύτερον [28] ἠμφεσβητήσαμεν σκεψώμεθα· τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστίν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾤμην; Σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα ἆρα [29] τὸ αὐτὸ καλεῖς;

ΠΩΛ. Ἔγωγε [30].

---

que...?" — [17] Ético. — [18] Este complemento circunstancial de tiempo sólo se aplica a Polo, convencido de su anterior error, pero no a los más de los hombres, que siguen en él. — [19] Súplase (ὄν). — [20] Id. (κακοῦ καὶ αἰσχροῦ). — [21] El razonamiento personificado. — [22] "Admite o no". — [23] Estaría más claro situado antes de ὁ. — [24] "No se parece en nada (a él)"; se refiere a la diferencia entre el razonamiento en que creen casi todos los humanos y el que él acaba de exponer. — [25] Construcción personal: "me basta que tú solo...". — [26] "Mando a paseo". — [27] "(Aquello)". — [28] "En segundo lugar". — [29] "Acaso no". — [30] "(Sí que lo llamo)". — [31] "(Que sí)". — [32] "¿Acaso no... (es) forzoso que

b ΣΩ. Ἔχεις οὖν λέγειν ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστι, καθ' ὅσον δίκαια; Καὶ διασκεψάμενος εἰπέ.

ΠΩΛ. Ἀλλά μοι δοκεῖ[31], ὦ Σώκρατες.

ΣΩ. Σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τίς τι ποιεῖ, ἀνάγκη τι εἶναι καὶ πάσχον[32] ὑπό τούτου τοῦ ποιοῦντος;

ΠΩΛ. Ἔμοιγε δοκεῖ[31].

ΣΩ. Ἆρα τοῦτο πάσχον ὃ τό ποιοῦν ποιεῖ, καὶ τοιοῦτον οἷον ποιεῖ τὸ ποιοῦν[33]; Λέγω δὲ τό τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι;.

ΠΩΛ. Ἀνάγκη.

c ΣΩ. Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω[34] καὶ τὸ τυπτόμενον τύπτεσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστὶν οἷον ἂν τὸ τύπτον ποιῇ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ κάει τις, ἀνάγκη τι κάεσθαι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ εἰ σφόδρα γε κάει ἢ ἀλγεινῶς, οὕτω[34] κάεσθαι τὸ καόμενον ὡς ἂν τὸ καῦν κάῃ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος[35]; Τέμνεται γάρ τι.

ΠΩΛ. Ναί.

d ΣΩ. Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον τμῆμα τέμνεται τὸ τεμνόμενον[36] οἷον τὸ τέμνον τέμνει;

ΠΩΛ. Φαίνεται.

---

haya también algo que sufra...?". — [33] "¿Acaso esto que sufre no (es aquello) que hace lo que hace y tal como lo hace lo que hace?"; es decir, que el sujeto pasivo no existiría sin la acción y su experiencia responde a la calidad de la acción. — [34] Súplase (ἀνάγκη ἐστί). — [35] "(Se deduce)". — [36] A una activa con doble acusativo externo e interno, τέμνειν τι τοιοῦτον τμῆμα, corresponde una pasiva con el interno convertido en una especie de acusativo de rela-

ΣΩ. Συλλήβδην δὴ ὅρα εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον, περὶ πάντων, οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν[37].

ΠΩΛ. Ἀλλ' ὁμολογῶ.

ΣΩ. Τούτων δὴ ὁμολογουμένων[38], τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν;

ΠΩΛ. Ἀνάγκη[39], ὦ Σώκρατες, πάσχειν.

ΣΩ. Οὐκοῦν ὑπό τινος ποιοῦντος;

ΠΩΛ. Πῶς γὰρ οὔ; Ὑπό γε τοῦ κολάζοντος.

ΣΩ. Ὁ δὲ ὀρθῶς κολάζων δικαίως κολάζει; e

ΠΩΛ. Ναί.

ΣΩ. Δίκαια ποιῶν ἢ οὔ;

ΠΩΛ. Δίκαια.

ΣΩ. Οὐκοῦν ὁ κολαζόμενος δίκην διδούς δίκαια πάσχει;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει[40], ὁ κολαζόμενος.

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν εἴπερ καλά, ἀγαθά; Ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα. 477 a

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς;

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ὠφελεῖται ἄρα;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρα ἧπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφελίαν[41]; Βελτίων τὴν ψυχὴν γίγνεται, εἴπερ δικαίως κολάζεται;

ΠΩΛ. Εἰκός γε.

ΣΩ. Κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς;

ΠΩΛ. Ναί.

---

ción. — [37] La oración de infintivo es aposición al antecedente tácito de ὅ. — [38] Genitivo absoluto. — [39] Aquí hay que suplir (ἐστὶ τὸ δίκην διδόναι εἶναι). — [40] Súplase (καλά). — [41] Acusativo interno. — [42] "(Sí que lo

b ΣΩ. Ἆρ' οὖν τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ; Ὧδε δὲ σκόπει· ἐν χρημάτων κατασκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἐνορᾷς ἢ πενίαν;

ΠΩΛ. Οὔκ, ἀλλὰ πενίαν.

ΣΩ. Τί δ' ἐν σώματος κατασκευῇ; Κακίαν ἂν φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Ἔγωγε [42].

ΣΩ. Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν [43] ἣν τινὰ εἶναι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ταύτην οὖν οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων,
c τριττὰς εἴρηκας πονηρίας, πενίαν, νόσον, ἀδικίαν;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς οὖν τούτων τῶν πονηριῶν [44] αἰσχίστη; Οὐχ ἡ ἀδικία καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία;

ΠΩΛ. Πολύ γε.

ΣΩ. Εἰ δὴ αἰσχίστη, καὶ [45] κακίστη;

ΠΩΛ. Πῶς, ὦ Σώκρατες, λέγεις;

ΣΩ. Ὧδε· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον [12] ἢ βλάβην ἢ ἀμφότερα αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν.

ΠΩΛ. Μάλιστα.

ΣΩ. Αἴσχιστον [46] δὲ ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία
d νυνδὴ ὡμολόγηται ἡμῖν;

ΠΩΛ. Ὡμολόγηται γάρ.

ΣΩ. Οὐκοῦν ἢ ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν ἢ βλάβῃ ἢ ἀμφότερα [47];

ΠΩΛ. Ἀνάγκη [48].

---

diría)". — [43] "Deficiencia". — [44] Partitivo. — [45] "También". — [46] Predicado. — [47] "Entonces, ¿es el más penoso de (todos) estos (males), y el más feo por superar (a los demás) en pena, o (es el más feo por superarles) en daño, o (es el más feo por superarles) en ambas cosas?" (cf. nota 13). — [48] "(Es) forzoso

ΣΩ. Ἆρ' οὖν ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλόν καὶ ἀμαθῆ;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπὸ τούτων [49] γε.

ΣΩ. Ὑπερφυεῖ τινὶ ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἆλλα [50] ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι πάντων, ἐπειδὴ οὐκ [51] ἀλγηδόνι γε, ὡς ὁ σὸς λόγος. *e*

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ἀλλὰ μήν που τό γε μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων [44].

ΠΩΛ. Ναί.

ΣΩ. Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων [44] κακόν ἐστι;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τίς οὖν τέχνη πενίας ἀπαλλάττει; Οὐ χρηματιστική;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς δὲ νόσου; Οὐκ ἰατρική;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Τίς δὲ πονηρίας καὶ ἀδικίας; Εἰ μὴ οὕτως εὐπορεῖς [52], **478** *a*
ὧδε σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα [53];

ΠΩΛ. Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες.

ΣΩ. Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολασταίνοντας;

ΠΩΛ. Παρὰ τοὺς δικαστὰς λέγεις;

ΣΩ. Οὐκοῦν δίκην δώσοντας [54];

ΠΩΛ. Φημί [31].

ΣΩ. Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες;

ΠΩΛ. Δῆλον δή.

(que suceda una de las tres cosas)". — [49] "A partir de estos (argumentos)". — [50] "Porque supera a lo demás en cuanto a un perjuicio desmesurado y en cuanto a un mal asombroso"; nótese la atracción: en lugar de βλάβῃ ἥ ὑπερφυές ἐστιν ὡς μεγάλη ἐστί, "en cuanto a un perjuicio el cual es enorme cuán grande es", se han puesto ὑπερφυεῖ y μεγάλῃ en dativo. — [51] "(Supera)". — [52] "Tienes la misma facilidad para contestar". — [53] Acusativo de relación. —

ΣΩ. Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ δὲ
b νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τί οὖν τούτων κάλλιστόν ἐστιν;

ΠΩΛ. Τίνων λέγεις;

ΣΩ. Χρηματιστικῆς, ἰατρικῆς, δίκης.

ΠΩΛ. Πολὺ διαφέρει[55], ὦ Σώκρατες, ἡ δίκη.

ΣΩ. Οὐκοῦν αὖ ἥτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφελίαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Ἀλλ' ὠφέλιμόν γε. Ἦ γάρ;

ΠΩΛ. Ναί.

c ΣΩ. Μεγάλου γάρ κακοῦ ἀπαλλάττεται[56], ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιῆ εἶναι.

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὕτως ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη, ἰατρευόμενος, ἢ μηδὲ κάμνων ἀρχὴν[57];

ΠΩΛ. Δῆλον[9] ὅτι μηδὲ κάμνων.

ΣΩ. Οὐ γὰρ τοῦτ' ἦν[58] εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις[59].

ΠΩΛ. Ἔστι ταῦτα.

d ΣΩ. Τί δέ; Ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτ' ἐν σώματι εἴτ' ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ;

ΠΩΛ. Φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος.

Final. — [55] "Aventaja". — [56] "(El enfermo)". — [57] "No estando enfermo en absoluto". — [58] Imperfecto empleado para referirse a algo que siempre ha sido cierto, pero que sólo ahora se ha visto que lo es. — [59] "La no posesión (del

ΣΩ. Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν [60], πονηρίας;

ΠΩΛ. Ἦν γάρ.

ΣΩ. Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη.

ΠΩΛ. Ναί.

ΣΩ. Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη [19].

ΠΩΛ. Δῆλον δή. e

ΣΩ. Δεύτερος δέ που ὁ ἀπαλλαττόμενος.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὗτος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς.

ΠΩΛ. Ναί.

ΣΩ. Κάκιστα ἄρα ζῇ ὁ ἔχων ἀδικίαν καὶ μὴ ἀπαλλαττόμενος.

---

mal) en absoluto". — [60] Imperfecto filosófico, para referirse a algo que ha quedado establecido en un momento anterior de la discusión.

La inspiración poética

(Ión 533 c - 535 a)

El diálogo *Ión*, que algunos consideran apócrifo, parece haber sido escrito en uno de los años anteriores al 391. En él, Sócrates dialoga con el rapsodo Ión de Efeso, que acaba de vencer en un certamen de Epidauro, sobre la actividad poética y los que la practican. Se trata de saber si en las recitaciones y comentarios de Ión, especialmente centrados sobre Homero, hay o no vestigios de una τέχνη, de un arte con sus principios y métodos como los demás. Sócrates opina que no y, en cambio, expone, en un pasaje muy conocido, su impresión de que los poetas y rapsodos actúan bajo el influjo de la fuerza divina que les proporciona inspiración y entusiasmo religioso; fuerza que se transmite, a través de las escuelas poéticas, como el poder magnético de la piedra imán.

533 c ΙΩΝ. Οὐκ ἔχω σοι περὶ τούτου ἀντιλέγειν, ὦ Σώκρατες· ἀλλ' ἐκεῖνο ἐμαυτῷ σύνοιδα, ὅτι [1] περὶ Ὁμήρου κάλλιστ' ἀνθρώπων λέγω καὶ εὐπορῶ [2] καὶ οἱ ἄλλοι πάντες μέ φασιν εὖ λέγειν, περὶ δὲ τῶν ἄλλων οὔ. Καίτοι ὅρα τοῦτο τί ἔστιν.

ΣΩΚΡΑΤΗΣ. Καὶ ὁρῶ, ὦ Ἴων, καὶ ἔρχομαί γέ σοι ἀποφα-
d νούμενος [3] ὅ μοι δοκεῖ τοῦτο εἶναι. Ἔστι γὰρ τοῦτο τέχνη μὲν οὐκ ὂν [4] παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν [5], ὃ νυνδὴ ἔλεγον, θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ ἣν Εὐριπίδης [6] μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν. Καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει [7] τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις ὥστ' αὖ δύνασθαι ταὐτὸν τοῦτο
e ποιεῖν ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους [8], ὥστ' ἐνίοτε ὁρμαθὸς μακρὸς πάνυ σιδηρίων καὶ δακτυλίων ἐξ ἀλλήλων [9] ἤρτηται [10]· πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. Οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτή, διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλων ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται [10]. Πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ [11] οὐκ ἐκ τέχνης ἀλλ' ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα, καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως· ὥσπερ οἱ κορυβαντιῶντες οὐκ ἔμφρο-
534 a νες ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι, ὥσπερ αἱ Βάκχαι ἀρύονται [12] ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δὲ οὖσαι οὔ, καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται [13], ὅπερ [14] αὐτοὶ λέγουσι. Λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς
b οἱ ποιηταὶ ὅτι ἀπὸ κρηνῶν μελιρρύτων ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται, καὶ [15] αὐτοὶ οὕτω πετόμενοι· καὶ ἀληθῆ λέγουσι. Κοῦφον γὰρ

[1] "Tengo conciencia de una cosa, de que". — [2] "Tengo abundancia (de ideas)". — [3] "Voy a hacerte saber". — [4] Cruce sintáctico entre ἔστι τοῦτο οὐ τέχνη y τοῦτο τέχνη οὐ τυγχάνει ὄν. — [5] Aposición a τοῦτο en περί ... λέγειν. — [6] Fr. 571 N. — [7] "Atrae". — [8] Aposición a ταὐτὸν τοῦτο. — [9] "(Unidos) los unos a los otros". — [10] "Se forma". — [11] Restrictivo. — [12] "Creen sacar". — [13] Anacoluto; en vez de "también los poetas líricos hacen eso" leemos "también el alma...". — [14] "Como". — [15] "También". — [16] "(Es)"; πρότερον

χρῆμα ποιητὴς ἐστιν καὶ πτηνόν καὶ ἱερόν, καὶ οὐ πρότερον[16] οἷός τε ποιεῖν[17] πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων καὶ ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ· ἕως δ' ἂν τοῦτ' ἔχῃ τὸ κτῆμα[18], ἀδύνατος πᾶς ποιεῖν ἄνθρωπός ἐστιν καὶ χρησμῳδεῖν. Ἅτε[19] οὖν οὐ τέχνῃ ποιοῦντες καὶ πολλὰ λέγοντες καὶ καλὰ περὶ τῶν πραγμάτων, ὥσπερ σὺ περὶ Ὁμήρου, ἀλλὰ θείᾳ μοίρᾳ, τοῦτο μόνον οἷός τε *c*
ἕκαστος ποιεῖν καλῶς ἐφ' ὃ ἡ Μοῦσα αὐτὸν ὥρμησεν, ὁ μὲν διθυράμβους, ὁ δὲ ἐγκώμια, ὁ δὲ ὑπορχήματα, ὁ δ' ἔπη, ὁ δ' ἰάμβους· τὰ δ' ἄλλα[20] φαῦλος αὐτῶν ἕκαστός ἐστιν. Οὐ γὰρ τέχνῃ ταῦτα λέγουσιν ἀλλὰ θείᾳ δυνάμει, ἐπεί, εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν[21] περὶ τῶν ἄλλων ἁπάντων· διὰ ταῦτα δὲ ὁ θεὸς ἐξαιρούμενος τούτων τὸν νοῦν τούτοις χρῆται ὑπηρέταις[22] καὶ τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ ἀκούον- *d*
τες εἰδῶμεν ὅτι οὐχ οὗτοί εἰσιν οἱ ταῦτα λέγοντες οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλ' ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς. Μέγιστον δὲ τεκμήριον τῷ λόγῳ[23] Τύννιχος ὁ Χαλκιδεύς, ὃς ἄλλο μὲν οὐδὲν πώποτε ἐποίησε ποίημα ὅτου τις ἂν ἀξιώσειεν[24] μνησθῆναι, τὸν δὲ παιῶνα[25] ὃν πάντες ᾄδουσι, σχεδόν τι πάντων μελῶν κάλλιστον, ἀτεχνῶς, ὅπερ[14] αὐτὸς λέγει, «εὕρημά τι Μοισᾶν[26]». Ἐν τούτῳ γὰρ δὴ μά- *e*
λιστά μοι δοκεῖ ὁ θεὸς ἐνδείξασθαι ἡμῖν, ἵνα μὴ διστάζωμεν, ὅτι οὐκ ἀνθρώπινά ἐστιν τὰ καλὰ ταῦτα ποιήματα οὐδὲ ἀνθρώπων, ἀλλὰ θεῖα καὶ θεῶν, οἱ δὲ ποιηταὶ οὐδὲν ἀλλ' ἢ ἑρμηνῆς[27] εἰσιν τῶν θεῶν, κατεχόμενοι[28] ἓξ ὅτου ἂν ἕκαστος κατέχηται. Ταῦτα ἐνδεικνύμενος ὁ θεὸς ἐξεπίτηδες διὰ τοῦ φαυλοτάτου ποιητοῦ τὸ κάλλιστον μέλος ᾖσεν· ἢ οὐ δοκῶ σοι ἀληθῆ λέγειν, ὦ Ἴων; 535 *a*

ΙΩΝ. Ναὶ μὰ τὸν Δία, ἔμοιγε· ἅπτει[29] γάρ πώς μου τοῖς λόγοις τῆς ψυχῆς[30], ὦ Σώκρατες, καί μοι δοκοῦσι θείᾳ μοίρᾳ ἡμῖν παρὰ τῶν θεῶν ταῦτα οἱ ἀγαθοὶ ποιηταὶ ἑρμηνεύειν.

---

no sirve más que para introducir a πρίν. — [17] "Crear". — [18] La razón. — [19] Da al participio valor causal. — [20] Acusativo de relación. — [21] "También (sabrían hacerlo)". — [22] Predicado. — [23] "(Es)". — [24] "Juzgara digno". — [25] "Compuso". — [26] Bólico en vez de Μουσῶν. — [27] Nominativo plural. — [28] "(Por aquel)". — [29] Segunda persona. — [30] Genitivo con verbos de "tocar".

El mito de los dos caballos

(Fedro 246 a - 248 c)

El diálogo *Fedro* es obra que ofrece multitud de problemas, tanto en relación con su fecha como en cuanto al desarrollo de su argumentación. Temas diversos (la retórica, el amor, la inmortalidad del alma) se cruzan y entretejen en forma aparentemente desordenada y que, como se ha repetido con frecuencia, recuerda a la artística y armónica combinación de los motivos de una sinfonía musical. El tono estilístico es también cambiante: tan pronto frío y razonador como ardientemente poseído por la más aérea y delicada de las Musas. Todo ello se une para darnos una creación de singular belleza, aunque difícil de entender en todos sus pormenores.

El trozo elegido corresponde al famosísimo mito escatológico, uno de los más importantes párrafos para la recta comprensión de las ideas de Platón en torno al destino del alma.

Es difícil —dice Sócrates— llegar a un conocimiento perfecto de la naturaleza anímica, pero sí puede comparársela con el conjunto de un auriga y su biga o carruaje de dos caballos, de los cuales uno es noble y disciplinado, y el otro indómito y lleno de resabios. Esta metáfora parece responder a otros lugares que distinguen tres elementos del alma individual: *Rep.* 439 *d* - 441 *a*, donde se habla de τὸ λογιστικόν o lo racional, τὸ ἐπιθυμητικόν o lo apetitivo y τὸ θυμοειδές o lo pasional y fogoso, y *Tim.* 70 *a-d*, que sitúa en la cabeza o ciudadela (ἀκρόπολις) del cuerpo el νοῦς; en el tórax, τὸ φιλόνεικον, que participa de la ἀνδρεία y del θυμός; y en la parte inferior del cuerpo (vísceras o φρένες), los apetitos o ἐπιθυμίαι. Ello por lo que toca al alma humana, pues las de los dioses todo lo tienen perfecto, los caballos y su conductor.

Se trata ahora de saber por qué, teniendo alma tanto los dioses como los hombres, puede hablarse de vida inmortal o mortal. El origen de esta distinción radica en el hecho de que ciertas almas han perdido las alas y, como consecuencia, se han visto arrastradas a la instalación en un cuerpo sólido y terreno, con el que forman un conjunto a que denominamos ser viviente mortal. ¿Por qué esa caída y pérdida de las alas, elemento divino que tiende por naturaleza hasta la altura donde residen lo bello, lo sabio y lo bueno?

Para contestar a ello se nos describe una procesión en que discurre por el cielo una serie de divinidades (solamente once, y no los doce dioses generalmente considerados como mayores, porque

Hestia, el símbolo del hogar doméstico, del fuego central o de la Tierra en general, se queda en el centro del universo mientras los astros giran en torno a ella), al frente cada cual de su grupo de almas. La procesión describe una órbita circular en torno a la bóveda celeste para, finalmente, salir a la parte exterior de la esfera y, arrastradas por la revolución circular del total, contemplar el mundo supracelestial. Aquel es el universo puro de las ideas al que, tras penosa ascensión que recuerda a la de los cautivos de la caverna, acceden los dioses y las mejores de las almas; mientras que otras, a pesar de todos sus esfuerzos, no llegan, entorpecidas por su caballo malo, sino a vislumbrar de vez en cuando el mundo ideal para terminar, maltrechas y fatigadas por el tumulto de los carruajes que se atropellan y estorban unos a otros, por renunciar a su empeño y caer, como antes decíamos, en la esfera de lo terreno. No podrán, pues, gozar los corceles del delicioso pasto del conocimiento, con que se fortalece y nutre la parte mejor del alma, sino que quedarán condenados al insípido y desorientador manjar de la opinión. Y aun así, su situación es mejor que la de las almas menos afortunadas que no han logrado ni aun asomar la cabeza fuera de la bóveda que nos circunda.

Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς[1] ἱκανῶς[2]· περὶ δὲ τῆς ἰδέας 246 *a*
αὐτῆς[1] ὧδε[3] λεκτέον. Οἷον μέν ἐστι, πάντῃ πάντως θείας εἶναι
καὶ μακρᾶς διηγήσεως, ᾧ δὲ ἔοικεν, ἀνθρωπίνης τε καὶ ἐλάττονος[4]· ταύτῃ οὖν λέγωμεν. Ἐοικέτω[5] δὴ συμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου. Θεῶν μὲν οὖν ἵπποι τε καὶ ἡνίοχοι
πάντες[6] αὐτοί τε ἀγαθοὶ καὶ[7] ἐξ ἀγαθῶν, τὸ δὲ τῶν ἄλλων μέ-
μεικται[8]. Καὶ πρῶτον μὲν ἡμῶν ὁ ἄρχων συνωρίδος[9] ἡνιοχεῖ, *b*
εἶτα τῶν ἵππων ὁ μὲν αὐτῷ[10] καλός τε καὶ ἀγαθὸς καὶ[11] ἐκ τοιούτων, ὁ δ' ἐξ ἐναντίων τε καὶ ἐναντίος· χαλεπὴ δὴ καὶ δύσκολος

---

[1] Del alma. — [2] "(Se ha hablado)". — [3] "Del modo siguiente". — [4] El infinitivo depende de otro (λεκτέον) implícito: "cómo es (el alma) es (asunto digno) de..., pero, en cambio, a qué se parece (es tema propio) de...". — [5] "Que se parezca", "pongamos que se parece". — [6] "(Son)". — [7] "(Nacidos)". — [8] Es decir, los elementos de las almas de los dioses son todos buenos, pero entre los hombres no ocurre así. — [9] Genitivo con verbos de "gobernar". — [10] Posesivo: hay que traducir "tiene uno...". — [11] "(Nacido)". — [12] "El ser viviente"

ἐξ ἀνάγκης ἡ περὶ ἡμᾶς ἡνιόχησις. Πῇ δὴ οὖν θνητόν τε καὶ ἀθά-
νατον ζῷον [12] ἐκλήθη πειρατέον εἰπεῖν. Ψυχὴ πᾶσα παντὸς ἐπι-
μελεῖται [13] τοῦ ἀψύχου, πάντα [14] δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτ' ἐν
c ἄλλοις εἴδεσι γιγνομένη. Τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη [15]
μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ, ἡ δὲ πτερορρυή-
σασα φέρεται ἕως ἂν στερεοῦ τινος [16] ἀντιλάβηται, οὗ [17] κατοικι-
σθεῖσα, σῶμα γήινον λαβοῦσα, αὐτὸ αὑτὸ δοκοῦν κινεῖν [18] διὰ τὴν
ἐκείνης δύναμιν, ζῷον τὸ σύμπαν ἐκλήθη [19], ψυχὴ καὶ σῶμα [20] πα-
γέν, θνητόν τ' ἔσχεν [19] ἐπωνυμίαν [21]· ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς λό-
γου λελογισμένου [22], ἀλλὰ πλάττομεν, οὔτε ἰδόντες οὔτε ἱκανῶς
d νοήσαντες, θεὸν ἀθάνατόν τι ζῷον [23], ἔχον μὲν ψυχήν, ἔχον δὲ
σῶμα, τὸν ἀεὶ δὲ χρόνον [15] ταῦτα συμπεφυκότα. Ἀλλὰ ταῦτα μὲν
δή, ὅπῃ τῷ θεῷ φίλον [24], ταύτῃ ἐχέτω τε καὶ λεγέσθω· τὴν δὲ αἰτίαν
τῆς τῶν πτερῶν ἀποβολῆς, δι' ἣν [25] ψυχῆς ἀπορρεῖ, λάβωμεν.
Ἔστι δέ τις τοιάδε.

Πέφυκεν ἡ πτεροῦ δύναμις [26] τὸ ἐμβριθὲς ἄγειν ἄνω μετεω-
ρίζουσα ᾗ [27] τὸ τῶν θεῶν γένος οἰκεῖ, κεκοινώνηκε δὲ πῃ μάλιστα
τῶν περὶ τὸ σῶμα [28] τοῦ θείου· τὸ δὲ θεῖον καλόν, σοφόν, ἀγαθόν,
e καὶ πᾶν ὅ τι τοιοῦτον [29]· τούτοις δὴ τρέφεταί τε καὶ αὔξεται μά-
λιστά γε τὸ τῆς ψυχῆς πτέρωμα, αἰσχρῷ δὲ καὶ κακῷ καὶ τοῖς
ἐναντίοις φθίνει τε καὶ διόλλυται. Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν
οὐρανῷ Ζεύς, ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται, διακο-
σμῶν πάντα καὶ ἐπιμελούμενος· τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ
247 a δαιμόνων, κατὰ ἕνδεκα μέρη κεκοσμημένη. Μένει γὰρ Ἑστία ἐν
θεῶν οἴκῳ μόνη· τῶν δὲ ἄλλων ὅσοι ἐν τῷ τῶν δώδεκα ἀριθμῷ τε-
ταγμένοι θεοὶ ἄρχοντες ἡγοῦνται [30] κατὰ τάξιν ἣν ἕκαστος

(sujeto). — [13] "Cada alma se cuida de un". — [14] Masculino. — [15] Temporal. — [16] Genitivo con verbos de "tocar". — [17] "Donde". — [18] "Que parece moverse a sí mismo". — [19] Gnómico. — [20] Predicado. — [21] "Y recibe el nombre de...". — [22] "Mientras que, en cambio, (el nombre de) inmortal no (procede) de ningún concepto razonado". — [23] "(La idea de un) dios como un ser vivo inmortal". — [24] "(Sea)". — [25] "(Las alas)". — [26] "La facultad del ala es por naturaleza como para". — [27] "Adonde". — [28] "Y es el órgano de los del cuerpo que en mayor grado participa". — [29] "Lo que (sea) semejante (a todo esto)". — [30] "Pero, de los otros (excepto Hestía), cuantos (están incluídos) en el número (tradicional)

ἐτάχθη. Πολλαὶ μὲν οὖν καὶ μακάριαι θέαι τε καὶ διέξοδοι[31] ἐντὸς οὐρανοῦ, ἃς[32] θεῶν γένος εὐδαιμόνων ἐπιστρέφεται πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ[33], ἕπεται[34] δὲ ὁ ἀεὶ[35] ἐθέλων τε καὶ δυνάμενος· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται[36]. Ὅταν δὲ δὴ *b* πρὸς δαῖτα καὶ ἐπὶ θοίνην ἴωσιν[37], ἄκραν ἐπὶ τὴν ὑπουράνιον ἀψῖδα πορεύονται πρὸς ἄναντες[38], ᾗ[39] δὴ τὰ μὲν θεῶν ὀχήματα ἰσορρόπως εὐήνια ὄντα[40] ῥᾳδίως πορεύεται, τὰ δὲ ἄλλα μόγις· βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ τὴν γῆν ῥέπων τε καὶ βαρύνων ᾧ μὴ καλῶς <ἂν> ᾖ τεθραμμένος τῶν ἡνιόχων[41]. Ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος ψυχῇ πρόκειται. Αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι, ἡνίκ' ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω[42] πορευθεῖ- *c*σαι ἔστησαν[19] ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ, στάσας δὲ αὐτὰς περιάγει ἡ περιφορά, αἱ δὲ θεωροῦσι τὰ ἔξω τοῦ οὐρανοῦ.

Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε[43] ποιητὴς οὔτε ποτὲ ὑμνήσει κατ' ἀξίαν. Ἔχει δὲ ὧδε —τολμητέον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα[44]— ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως οὖσα, ψυχῆς κυβερνήτῃ μόνῳ θεατὴ νῷ, περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος[45], τοῦτον ἔχει τὸν τόπον. Ἄτ' οὖν θεοῦ *d* διάνοια νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ τρεφομένη, καὶ ἁπάσης

---

de los doce, van, encuadrados como dioses conductores". — [31] Evoluciones que, por su belleza, sirven de espectáculo. — [32] Acusativo interno. — [33] El llamado nominativo absoluto: aposición en que un colectivo es dividido entre sus componentes. — [34] "(Les) sigue". — [35] "En cada caso". — [36] Es decir, que los dioses no impiden a nadie que les siga o imite, pues Platón rechaza la concepción arcaica de la envidia divina, que se encarniza en quien pretende sobrepasar la naturaleza humana. — [37] Iterativo. — [38] "Caminan hacia arriba, hasta la parte más alta (ἄκραν es predicativo) de la cúpula que recubre el cielo por debajo (como una especie de forro)". — [39] "Por donde". — [40] "Por ser fáciles de conducir gracias al buen equilíbrio (entre sus caballos)". — [41] "Entorpeciendo a aquel de los aurigas (ᾧ es producto de atracción en vez de τούτῳ ὅς) que...". — [42] A lo que pudiéramos llamar funda externa de la esfera. — [43] "De los de aquí". — [44] "Sobre todo cuando se habla" (λέγοντα concierta con el sujeto implícito de εἰπεῖν). — [45] "Sobre la cual (versa) el género (de conocimiento que

ψυχῆς δσῃ ἂν μέλῃ τὸ προσῆκον δέξασθαι, ἰδοῦσα διά χρόνου τὸ ὂν[46] ἀγαπᾷ τε καὶ θεωροῦσα τἀληθῆ τρέφεται καὶ εὐπαθεῖ, ἕως ἂν κύκλῳ ἡ περιφορὰ εἰς ταὐτὸν περιενέγκῃ. Ἐν δὲ τῇ περιόδῳ καθορᾷ μὲν αὐτὴν δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην, οὐχ[47] ἣ γένεσις πρόσεστιν, οὐδ'[48] ἣ ἔστίν που
e ἑτέρα ἐν ἑτέρῳ οὖσα ὧν ἡμεῖς νῦν ὄντων[49] καλοῦμεν, ἀλλὰ τὴν ἐν τῷ[50] ὅ ἐστιν ὂν ὄντως ἐπιστήμην οὖσαν· καὶ τἆλλα ὡσαὐτως τὰ ὄντα ὄντως θεασαμένη καὶ ἐστιαθεῖσα, δῦσα πάλιν εἰς τὸ εἴσω[51] τοῦ οὐρανοῦ, οἴκαδε ἦλθεν[19]. Ἐλθούσης δὲ αὐτῆς ὁ ἡνίοχος πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας παρέβαλεν[19] ἀμβροσίαν τε καὶ ἐπ' αὐτῇ νέκταρ ἐπότισεν.

248 a Καὶ οὗτος μὲν θεῶν βίος· αἱ δὲ ἄλλαι ψυχαί[52], ἡ μὲν ἄριστα θεῷ ἑπομένη καὶ εἰκασμένη ὑπερῆρεν[19] εἰς τὸν ἔξω τόπον τὴν τοῦ ἡνιόχου κεφαλήν, καὶ συμπεριηνέχθη[19] τὴν περιφοράν[53], θορυβουμένη ὑπὸ τῶν ἵππων καὶ μόγις καθορῶσα τὰ ὄντα· ἡ δὲ τοτὲ μὲν ἦρεν[54], τοτὲ δ' ἔδυ[19], βιαζομένων δὲ τῶν ἵππων[55] τὰ μὲν εἶδεν[19], τὰ δ' οὔ. Αἱ δὲ δὴ ἄλλαι γλιχόμεναι μὲν ἅπασαι τοῦ ἄνω[56] ἕπονται, ἀδυνατοῦσαι[55] δέ, ὑποβρύχιαι συμπεριφέρονται, πατοῦ-
b σαι ἀλλήλας καὶ ἐπιβάλλουσαι, ἑτέρα πρὸ τῆς ἑτέρας[57] πειρωμένη γενέσθαι[33]. Θόρυβος οὖν καὶ ἅμιλλα καὶ ἱδρὼς ἔσχατος γίγνεται, οὗ[58] δὴ κακίᾳ ἡνιόχων πολλαὶ μὲν χωλεύονται, πολλαὶ δὲ πολλὰ πτερὰ[59] θραύονται· πᾶσαι δὲ πολὺν ἔχουσαι πόνον ἀτελεῖς τῆς τοῦ ὄντος θέας[60] ἀπέρχονται, καὶ ἀπελθοῦσαι τροφῇ δοξαστῇ

---

es el) del verdadero conocimiento". — [46] "Y la mente de la divinidad, como asimismo (la) de toda alma a la que interese el recibir lo adecuado, puesto que (ὅτε con valor causal) se alimenta..., una vez que ha visto, al cabo del tiempo, lo que es". — [47] "(Pero) no (aquel)". — [48] "Ni (aquel)". — [49] "Que es distinto cuando versa sobre cada una de las cosas a las que nosotros..." (ὧν y ὄντων son producto de atracción). — [50] Demostrativo. — [51] Cf. n. 38. — [52] Anacoluto. — [53] En activa sería doble acusativo, externo e interno: συμπεριφέρειν τὴν ψυχὴν τὴν περιφοράν. — [54] Intransitivo (gnómico). — [55] Causal. — [56] Genitivo con verbos de "aspirar a". — [57] "La una antes que la otra". — [58] "En lo cual". — [59] Acusativo de relación. — [60] "No iniciadas en la contemplación". —

χρῶνται. Οὗ δὴ ἕνεχ'[61] ἡ πολλὴ σπουδὴ τὸ ἀληθείας ἰδεῖν πεδίον
οὗ ἐστιν[62], ἥ τε δὴ προσήκουσα ψυχῆς τῷ ἀρίστῳ[63] νομῇ ἐκ τοῦ
ἐκεῖ λειμῶνος τυγχάνει οὖσα, ἥ τε τοῦ πτεροῦ φύσις, ᾧ ψυχὴ κου- c
φίζεται, τούτῳ τρέφεται[64].

---

[61] "(Y esta es la razón) por la cual (se produce)". — [62] "(Por) ver dónde está...". — [63] "Para lo mejor del alma". — [64] Las oraciones de τυγχάνει y τρέφεται vienen a ser aposición al primer pronombre de un inicial (τοῦτο ἐστὶ τοῦτο).



DEMOSTENES

Demóstenes, el que había de ser famoso orador, nació en Peania, demo ático, el 384-383 a. J. C.; hijo de un acaudalado industrial, llamado también Demóstenes, pudo haber recibido esmerada educación si la muerte de su padre, acaecida prematuramente, no le hubiera dejado en manos de tutores poco escrupulosos, que le despojaron de casi todo su peculio. El muchacho, dando ya muestras de recia personalidad, no se contentó con lamentarse e inició una serie de procesos contra sus parientes que no sirvieron de gran cosa en lo material, pero sí para hacer nacer en él una gran afición a la retórica; y, aunque su carácter y algunos defectos físicos no le hacían muy apto para estas actividades, consiguió, con voluntad férrea y mucho estudio y preparación, llegar a ser el genio de la oratoria universal que hoy reconocemos todos en él.

Durante la mayor parte de su vida, a partir de su orfandad y querellas, se dedicó, pues, a ejercer como logógrafo, igual que en el caso de Lisias, y conservamos multitud de discursos de este tipo a que ahora no tenemos espacio para referirnos; pero, a diferencia del otro orador, que sólo de modo muy esporádico intervino en política, Demóstenes comenzó también a distinguirse muy pronto como autor de oraciones pronunciadas en la discusión pública de asuntos internacionales. En este sentido, los consejos y exhortaciones del peanieo, hombre de gran autoridad, hicieron mu-

cho por orientar a los atenienses en la situación cada vez más difícil en que se encontraban a causa de los sucesivos avances de Filipo de Macedonia.

Este, que con su genial inteligencia, rara agudeza y total falta de escrúpulos, consiguió poner a su pueblo, hasta entonces atrasado y aislado, a la cabeza de los de Grecia, encontró un serio escollo para su insaciable ambición en la resistencia de Demóstenes y sus amigos. En definitiva, éstos no triunfaron, en parte porque el pueblo ateniense se hallaba desmoralizado y mal preparado para defenderse con eficacia y en parte porque la evolución histórica marcaba claramente el camino desde la antigua ciudad-estado, impracticable ya en las nuevas circunstancias políticas y económicas, hasta los grandes reinos que habían de desembocar en el imperio romano; pero no por ello deja de ser admirable su lucha por unos principios de libertad e independencia en que siguieron creyendo hasta el fin aunque fuera previsible el fracaso último de Atenas y del partido democrático.

Entre los principales discursos escritos en esta línea por Demóstenes figuran los pronunciados *Sobre las agrupaciones* (año 354), *En pro de los megalopolitas* (353), *En pro de la libertad de los rodios* (352) y, sobre todo, las tres *Olínticas*, que fueron oídas con motivo de la petición de auxilio a los atenienses por parte de la amenazada ciudad de Olinto (349), y las cuatro *Filípicas*, de los años 351, 343, 341 y también 341 respectivamente, en que, como indica el nombre colectivo, va fraguándose un sentimiento de resistencia y aversión a la política antiateniense del monarca macedonio. Hay que hacer notar, sin embargo, que también Filipo contaba dentro de Atenas con partidarios más o menos venales, en-

tre los que sobresalía Esquines, acusado de inmoralidad política por Demóstenes en su discurso *Sobre la embajada infiel,* del año 342.

La campaña democrática culminó con la formación de una alianza militar de pueblos griegos que fue derrotada en la batalla de Queronea (año 338), de la que puede decirse que marca el fin de Atenas como potencia política. A partir de entonces, la actividad de Demóstenes se hace más esporádica y menos lucida: consigue, a pesar de la derrota, que el pueblo ateniense, ante las vengativas acusaciones de Esquines, le otorgue, con el veredicto aplastantemente favorable en el proceso a que corresponde el bellísimo discurso *Sobre la corona* (330), un voto de confianza *a posteriori* inútil ya, pero muy significativo; promueve sublevaciones y manejos en varias ocasiones (falso rumor de la muerte de Alejandro, llegada a Atenas de su tesorero infiel Harpalo, noticia esta vez auténtica del fallecimiento del gran conquistador) y finalmente, fracasados los helenos en la llamada guerra lamíaca, tiene que suicidarse para no caer en manos de los secuaces de Antípatro, nuevo regente macedonio. Esto sucedía hacia el 13 de octubre del 322.

Tercera Filípica (IX)

La *Tercera Filípica* debió de ser pronunciada en la asamblea popular de Atenas en mayo del 341 a. J. C., cuando Filipo se mostraba particularmente amenazador para la ciudad, no tanto por lo que abiertamente hiciera, en un momento en que estaba vigente una paz nominal entre ambas potencias, sino porque se aprovechaba de la tregua para redondear sus conquistas y establecer en todas partes peones suyos con vistas a la reanudación de las hostilidades.

Con ello no hacia más que llevar a las últimas consecuencias una vieja política de agresión a cuyas incidencias anteriores hallamos en Demóstenes referencias múltiples: la toma, en el año 354, de la ciudad de Metone (párrafo 26); la conquista, el 352, de Feras (12) y, con ello, de toda Tesalia (26); la alianza con la ciudad quersonésica de Cardia, concluída el 351 (35); los sucesos de Eretria, donde los atenienses, contra la opinión de Demóstenes, ayudaron al tiranuelo local Plutarco para ser traicionados por él, derrotados humillantemente y obligados a reconocer la independencia de la isla entera de Eubea, tras de lo cual Filipo (año 349) instauró en la ciudad una tiranía representada principalmente por Clitarco (18, 33, 57, 66); la guerra de Olinto, acabada desastrosamente el 348 (11, 56, 66), en que al macedonio apoyó una quinta columna local contra el proateniense Apolónides; la conquista de la vecina Apolonia (26), que debió de ocurrir por entonces; el tratado de paz del 346, tan ventajoso para Filipo, y que lo fué más todavia porque él retrasó intencionadamente la ratificación para, entre tanto, hacerse con varias plazas estratégicas de Tracia (15); la capitulación de los focenses, ocasionada por dicho convenio (11), y la apoteosis de Filipo en la presidencia de los juegos Píticos de aquel año (32); la negativa a conceder a Tebas la ciudad de Equino (34) en 346 también; la intromisión del 344 en los asuntos del Peloponeso; el establecimien-

to (27) de una oligarquía promacedónica en la Élide; una intentona contra Mégara (17, 18, 27) que fracasó de milagro; los acontecimientos de la ciudad euboica de Óreo (12, 59-66), donde los partidarios de Filipo, después de desembarazarse del demócrata Eufreo, implantaron como tirano a Filístides; las amenazas, en connivencia con la liga etolia, contra Naupacto (34) y Ambracia y Léucade (27, 34, 72), que completan el sombrío cuadro de los años 343 y 342; y finalmente, otra campaña filípica de Tracia, inquietante para Bizancio (19, 34), en que el general Diopites, recién salvado de una destitución por Demóstenes, defendía como podía, con pocos soldados y menos dinero, el vacilante prestigio de Atenas.

En esta situación, la voz del orador se yergue valerosamente para denunciar los males de la ciudad y su sistema político: la inmoralidad de los demagogos, que no dicen al pueblo sino lo que pueda agradarle; la indolencia y fatalismo de la masa que se cree predestinada a la derrota o que, por el contrario, quita importancia a los hechos aduciendo paralelos históricos esperanzadores, pero poco válidos; la corrupción y venalidad de quienes, en Atenas o en otros lugares, actúan a sueldo del macedonio; la frivolidad con que se presencian las más repugnantes o grotescas maniobras; y, en fin, el poco acierto con que se procede al defraudar en todas partes a los enemigos de Filipo, siempre desatendidos o insuficientemente protegidos. Y no es éste mal exclusivo de la democracia ática: los pueblos griegos persisten en sus sempiternas divisiones y, con ello, van consiguiendo que un despreciable macedonio, jefe de un pueblo bárbaro que siempre fue tenido por humilde e inculto, se erija en árbitro de Grecia. ¿Es qué podrá tolerarse esta hegemonía humillante cuando ni atenienses, ni espartanos, ni tebanos lograron jamás que las suyas fueran aceptadas de grado?

Hay, pues, que acabar con el espejismo de este falso estado de paz en que una de las partes respeta sus juramentos y la otra no; vale más la guerra abierta que la tregua precaria y desventajosa. Y una guerra con flota potente, con numeroso ejército, con abundante aportación de medios, con estrategia agresiva y audaz, con diplomacia inteligente y hábil; todo lo contrario de lo que ahora vemos. Pero, precisamente, el hecho de que los fracasos actuales no se deban a aplastante superioridad objetiva de Filipo, sino a graves deficiencias en el aspecto humano, debe inducir a optimismo, pues es de suponer que, al cambiar los procedimientos, cambiará también el curso de los sucesos.

Es un bellísimo discurso en que resplandecen las mejores virtudes personales y literarias de un Demóstenes amigo de la libertad, de la verdad y del honor que pone sus mejores razonamientos y sus más ardorosas exhortaciones al servicio de su pueblo y que, sin embargo, parece adivinar, lleno de melancólicos presagios, que el fin será muy triste.

1 Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων[1] ὀλίγου δεῖν[2] καθ' ἑκάστην ἐκκλησίαν περὶ ὧν[3] Φίλιππος, ἀφ' οὗ[4] τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους ἀδικεῖ, καὶ πάντων οἷδ' ὅτι φησάντων γ' ἄν[5], εἰ καὶ μὴ ποιοῦσι τοῦτο[6], καὶ λέγειν δεῖν καὶ πράττειν ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦθ' ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμέν'[7] ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον[8] μὲν εἰπεῖν, ἀληθὲς δ' ᾖ[9] εἰ καὶ λέγειν ἅπαντες ἐβούλονθ' οἱ παριόντες[10] καὶ χειροτονεῖν ὑμεῖς[11] ἐξ ὧν ὡς φαυλότατ' ἔμελλε[12] τὰ πράγμαθ' ἕξειν,
2 οὐκ ἂν ἡγοῦμαι δύνασθαι[13] χεῖρον ἢ νῦν διατεθῆναι. Πολλὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τούτων, καὶ οὐ παρ' ἓν οὐδὲ δύ' εἰς τοῦτο τὰ πράγματ' ἀφῖκται, μάλιστα δ', ἅπερ ἐξετάζητ' ὀρθῶς, εὑρήσετε[14] διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους, ὧν τινὲς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα[15] φυλάττοντες οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν... ἕτεροι δὲ τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας[16] αἰτιώμενοι καὶ διαβάλλοντες οὐδὲν ἄλλο ποιοῦσιν ἢ ὅπως ἡ μὲν πόλις αὐτὴ παρ' αὑτῆς δίκην λήψεται[17] καὶ περὶ τοῦτ' ἔσται,

---

[1] Genitivo absoluto. — [2] "Casi". — [3] Atracción equivalente a τούτων ἅ (este último doble, con ὑμᾶς y τοὺς ἄλλους, respecto a ἀδικεῖ). — [4] "Desde que". — [5] Genitivo absoluto al que ἄν da valor potencial; οἷδ' ὅτι está estereotipado, significando algo así como "evidentemente". — [6] Concesivo. — [7] De προίημι. — [8] "Malsonante". — [9] Súplase "(lo siguiente)"; en realidad, el subjuntivo debería ser indicativo; "pero es verdad". — [10] "(Por la tribuna)". — [11] Omisión del antecedente. — [12] Modo atraído por la irreal. — [13] "Si todos los oradores se hubieran propuesto decir y vosotros (os hubierais propuesto) votar aquello... ni aun así creo que podrían...". — [14] "(Que han llegado a ese punto)". — [15] Antecedente del anterior οἷς. — [16] Se refiere a Diopites. — [17] "Se

Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. Αἱ δὲ
τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῶν κακῶν.
'Αξιῶ δ', ὦ ἄνδρες 'Αθηναῖοι, ἄν τι τῶν ἀληθῶν μετὰ παρρησίας 3
λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. Σκοπεῖτε γὰρ ὠδί. Ὑμεῖς τὴν παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων [18] οὕτω [19]
κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις
καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε, καὶ πολλοὺς ἄν τις οἰκέτας
ἴδοι παρ' ἡμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται [20] λέγοντας
ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν
παντάπασιν ἐξεληλάκατε [21]. Εἴθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν 4
μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν [22], ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ
τῶν ἐσχάτων ἤδη κινδυνεύειν. Εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε,
οὐκ ἔχω τί λέγω· εἰ δ' ἃ συμφέρει χωρὶς κολακείας ἐθελήσετ'
ἀκούειν, ἕτοιμος [23] λέγειν. Καὶ γὰρ εἰ [6] πάνυ φαύλως τὰ πράγματ'
ἔχει καὶ πολλὰ προεῖται [7], ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν
βούλησθε, ἔτι πάντα τοῦτ' ἐπανορθώσασθαι. Καὶ παράδοξον μὲν 5
ἴσως ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον [24] ὑπάρχει. Τί
οὖν ἐστι τοῦτο; Ὅτι οὔτε μικρὸν οὔτε μέγ' οὐδὲν τῶν δεόντων [25]
ποιούντων ὑμῶν [26] κακῶς τὰ πράγματ' ἔχει, ἐπεί τοι, εἰ πάνθ' ἃ
προσῆκε πραττόντων [6] οὕτως διέκειτο, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ
γενέσθαι βελτίω. Νῦν δὲ τῆς ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελίας κεκράτηκε Φίλιππος, τῆς πόλεως δ' οὐ κεκράτηκεν· οὐδ'
ἥττησθ' ὑμεῖς, ἀλλ' οὐδὲ [27] κεκίνησθε...

Εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πόλει καὶ ἐφ' ἡμῖν ἐστι [28] 8
τοῦτο, ἵν' ἐντεῦθεν [29] ἄρξωμαι, φήμ' ἔγωγ' ἄγειν ἡμᾶς δεῖν, καὶ
τὸν ταῦτα λέγοντα γράφειν [30] καὶ πράττειν καὶ μὴ φενακίζειν
ἀξιῶ· εἰ δ' ἕτερος τὰ ὅπλ' ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν

---

aplique la justicia solamente a sí misma". — [18] Excepto las asambleas. — [19] "Tan". — [20] Depende de λέγοντας. — [21] Súplase (τὴν παρρησίαν). — [22] Dativo. — [23] "(Estoy)". — [24] Predicado. — [25] Partitivo — [26] Genitivo absoluto causal. — [27] "Ni siquiera". — [28] "De nosotros depende". — [29] Con esta cuestión de si la paz es factible o no. — [30] "Redacte (propuestas)". — [31] "En cuanto a los

περὶ αὐτὸν τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλει, τοῖς δ' ἔργοις[31] αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο πλὴν[32] ἀμύνεσθαι; Φάσκειν δ' εἰρήνην ἄγειν εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος,
9 οὐ διαφέρομαι[33]. Εἰ δέ τις ταύτην[34] εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἄλλα λαβὼν ἐφ' ἡμᾶς ἦξει, πρῶτον μὲν μαίνεται, ἔπειτ' ἐκείνῳ παρ' ὑμῶν, οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην λέ-
γει[35]· τοῦτο δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων χρημάτων πάντων[36] Φίλιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολε-
μεῖσθαι.

10 Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων[25] ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν[6] ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς[37] πρὸς
11 τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι. Τοῦτο μὲν[38] γὰρ Ὀλυνθίοις, τετταράκοντ' ἀπέχων[39] τῆς πόλεως στάδια, εἶπεν ὅτι δεῖ δυοῖν θάτερον[40], ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον[39], εἴ τις αὐτὸν αἰτιάσαιτό[41] τι τοιοῦτον, ἀγανακτῶν[6] καὶ πρέσβεις πέμπων[6] τοὺς ἀπολογησομέ-
νους[42]· τοῦτο δ'[43] εἰς Φωκέας ὡς πρὸς συμμάχους ἐπορεύετο[44], καὶ πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον[45] οἱ πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν
12 ἐκείνου πάροδον[46]. Καὶ μὴν καὶ Φερὰς πρώην[47] ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν[48] ἔχει καταλαβών, καὶ τὰ τε-

---

hechos". — [32] "¿Qué otro remedio (queda) sino...?". — [33] "Si queréis decir, (pero nada más que decir), que estáis en paz, como él (no hace tampoco más que decirlo, pero obrando de otro modo), no me opongo (a ello)". — [34] Femenino en vez de neutro por atracción de género. — [35] "Habla de una paz (que lo es) para él de nuestra parte, pero no para nosotros de la suya". — [36] Genitivo de precio. — [37] Atracción equivalente a τούτοις ἅ. — [38] "Por una parte". — [39] Temporal. — [40] "Una de dos cosas". — [41] Optativo iterativo del que depende un doble acusativo. — [42] Final. — [43] "Por otra parte". — [44] Cuando en realidad marchaba con intenciones de conquista hacia la Fócide. — [45] "Sostenían". — [46] "Que a los tebanos no les iba a beneficiar la llegada de aquél"; nótese la litotes; en Atenas había un profundo resentimiento contra Tebas, que aquí hace alegrarse a los ciudadanos de los avances de Filipo. — [47] "Desde hace muy poco". — [48] *Concesivo* desde ὡς. — [49] Adverbial. — [50] Sigue dependiendo de ἔφη. —

λευταῖα [49] τοῖς ταλαιπώροις Ὠρείταις τουτοιοὶ ἐπισκεψομένους [42] ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν· πυνθάνεσθαι [50] γὰρ αὐτοὺς [51] ὡς νοσοῦσι καὶ στασιάζουσιν, συμμάχων [52] δ' εἶναι [50] καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. Εἶτ' οἴεσθ' 13
αὐτόν [53], οἳ [54] ἐποίησαν μὲν οὐδὲν ἂν κακόν [55], μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως [55], τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν [56], καὶ ταῦθ' ἕως ἂν ἐκόντες ἐξαπατᾶσθε [57]; Οὐκ ἔστι ταῦτα· καὶ γὰρ ἂν 14
ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων [6] αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν [25] τινάς [16] αἰτιωμένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονικίαν ἐφ' αὑτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γ' οὐ πολεμεῖ τῇ πόλει.

Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν [58] ἐκ τῶν ὀνομά- 15
των μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρήνην ἢ πολεμοῦνθ' αὑτῷ σκέψαιτ' ἄν; Οὐδεὶς δήπου. Ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἅρτι τῆς εἰρήνης γεγονυίας, οὕπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν ὄντων ἐν Χερρονήσῳ νῦν ἀπεσταλμένων [39], Σέρριον καὶ Δορίσκον ἐλάμβανε καὶ τοὺς ἐκ [59] Σερρείου τείχους καὶ Ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς κατέστησεν [60]. Καίτοι ταῦτα πράττων τί ἐποίει; Εἰρήνην μὲν γὰρ ὠμω- 16
μόκει [61]. Καὶ μηδεὶς εἴπῃ· «Τί δὲ ταῦτ' ἐστίν, ἢ τί τούτων [25] μέλει [62] τῇ πόλει;» Εἰ μὲν γὰρ μικρὰ ταῦτα, ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον, ἂν τ' ἐπὶ μικροῦ τις ἂν [63] τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύνα-

---

[51] Prolepsis. — [52] "(Propio de)". — [53] Sujeto de αἱρεῖσθαι y πολεμήσειν. — [54] Su antecedente es τούτους. — [55] "(Si les hubiera atacado abiertamente)". — [56] Los dos infinitivos son teóricamente correlativos, pero el segundo tiene más énfasis: "Entonces, ¿creéis que él, que preferia..., iba a guerrear...?". — [57] Subjuntivo. — [58] "Alguna persona sensata que". — [59] Atracción de la preposición; debería decir τοὺς ἐν Σερρείῳ τείχει καὶ Ἱερῷ ὄρει. — [60] En español, pluscuamperfecto. — [61] Esta afirmación de Demóstenes no es cierta. — [62] "Se le importa". — [63] "Tanto si... como si...". — [64] "Y ahora, veamos". — [65] De

μιν. Φέρε δῆ νῦν [64], ἡνίκ' εἰς Χερρόνησον, ἣν βασιλεὺς [65] καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους [66] εἰσπέμπει
17 καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; Φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ δὲ τοσούτου δέω ταῦτα ποιοῦντ' ἐκεῖνον ἄγειν ὁμολογεῖν τὴν πρὸς ὑμᾶς εἰρήνην [67], ὥστε καὶ Μεγάρων [68] ἁπτόμενον κἂν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τἀν Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ' ὅσα πράττει μετὰ τῆς δυνάμεως ποιοῦντα [69], λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν ὑμῖν, εἰ μή καὶ τοὺς τὰ μηχανήματ' ἐφιστάντας εἰρήνην ἄγειν φήσετε [70], ἕως [71] ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν. Ἀλλ' οὐ φήσετε· ὁ [72] γὰρ οἷς [73] ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. Τίσιν [74] οὖν ὑμεῖς κινδυνεύσαιτ' ἄν, εἴ τι γέ-
18 νοιτο; Τῷ τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς Εὐβοίας τόν πολεμοῦνθ' ὑμῖν γενέσθαι κύριον, τῷ Πελοποννησίους τἀκείνου φρονῆσαι. Εἶτα τόν τοῦτο τὸ μηχάνημ' ἐπὶ τὴν πόλιν
19 ἱστάντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ [75] πρὸς ὑμᾶς; Πολλοῦ γε καὶ δεῖ [76], ἀλλ' ἀφ' ἧς ἡμέρας [77] ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὁρίζομαι. Ὑμᾶς δ', ἐὰν ἀμύνησθ' ἤδη, σωφρονήσειν φημί, ἐὰν δ' ἐάσητε, οὐδὲ τοῦθ' ὅταν βούλησθε δυνήσεσθαι ποιῆσαι. Καὶ τοσοῦτόν γ' ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥστ' οὐδὲ δοκεῖ [78] μοι περὶ Χερρονή-
20 σου νῦν σκοπεῖν οὐδὲ Βυζαντίου, ἀλλ' ἐπαμῦναι μὲν τούτοις, καὶ διατηρῆσαι μή τι πάθωσι... βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν κινδύνῳ μεγάλῳ καθεστώτων [79]. Βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς [11] ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν', εἰ μὲν ὀρθῶς λογίζομαι, μετάσχητε τῶν λογισμῶν καὶ πρόνοιάν

Persia. — [66] "Mercenarios". — [67] "Tan lejos estoy de convenir en que él, cuando hace eso, mantiene...". — [68] Genitivo con verbos de "tocar". — [69] Todos estos participios son temporales y dependen del sujeto implícito de λύειν. — [70] "A no ser que digáis que también". — [71] "Mientras no". — [72] Va con πράττων κτλ. — [73] Su antecedente es ταῦτα. — [74] "¿En qué aspecto...?". — [75] Deliberativo. — [76] "En modo alguno". — [77] Atracción equivalente a ἀπὸ τῆς ἡμέρας ἐν ᾗ. — [78] "Parece oportuno". — [79] "En la idea de que están". —

τιν' ὑμῶν γ' αὐτῶν, εἰ μὴ καὶ τῶν ἄλλων ἄρα βούλεσθε, ποιήσησθε [80], ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε [81].

"Οτι μὲν δὴ μέγας [82] ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς [83] 21
Φίλιππος ηὔξηται, καὶ [84] ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς
αὐτοὺς [85] οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξότερον ἦν τοσοῦτον
αὐτὸν ἐξ ἐκείνου γενέσθαι ἢ νῦν, ὅθ' οὕτω πολλὰ προείληφε, καὶ
τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσασθαι [86], καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι
διεξελθεῖν, παραλείψω. Ἀλλ' ὁρῶ συγκεχωρηκότας [87] ἅπαντας 22
ἀνθρώπους, ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον [88] πάντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. Τί οὖν ἐστι τοῦτο; Τὸ ποιεῖν ὅ τι βούλεται, καὶ καθ' ἕν' [89] οὕτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τῶν Ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. Καίτοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντ' ἔτη καὶ 23
τρία [90] τῶν Ἑλλήνων ἐγένεσθε, προστάται δὲ τριάκονθ' ἑνὸς δέοντα [91] Λακεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τουτουσὶ τοὺς τελευταίους χρόνους [88] μετὰ τὴν ἐν Λεύκτροις μάχην [92]. Ἀλλ' ὅμως οὔθ' ὑμῖν οὔτε Θηβαίοις οὔτε Λακεδαιμονίοις οὐδεπώποτ', ὦ ἄνδρες Ἀθηναῖοι, συνεχωρήθη τοῦθ' ὑπὸ τῶν Ἑλλήνων, ποιεῖν ὅ τι βούλοισθε [93], οὐδὲ πολλοῦ δεῖ [94]· ἀλλὰ τοῦτο μὲν [88] ὑμῖν, μᾶλλον [95] 24
δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως [96] ἐδόκουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες [97] αὐτοῖς, μετὰ τῶν ἠδικημένων πολεμεῖν· καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι καὶ παρελθοῦσιν εἰς τὴν αὐτὴν δυναστείαν

---

[80] "Toméis alguna precaución al menos en favor de vosotros mismos, si es que no queréis (tomarla) en favor de los demás". — [81] "Volváis a hacerme caso como (se le hace) al sano de espíritu, (pues será que no lo estoy)". — [82] Predicativo-proléptico. — [83] Adverbial; va con lo que le antecede. — [84] Súplase (ὅτι). — [85] Recíproco. — [86] "Que mucho más extraño era el hecho de que él se hiciera tan grande a partir de aquello que lo sería el que ahora...". — [87] "Que todos... le han concedido (algo)". — [88] Acusativo temporal. — [89] "A cada uno (sucesivamente)". — [90] Desde el 477, en que se creó la liga marítima, hasta el 404, año de la toma de Atenas por Lisandro (acusativo temporal). — [91] Desde el 405 al 376 (batallas de Egospótamos y Naxos). — [92] Año 371. — [93] Iterativo. — [94] "Ni mucho menos". — [95] "Mejor dicho". — [96] Lítotes. — [97] "Incluso los

ὑμῖν[98], ἐπειδὴ πλεονάζειν ἐπεχείρουν καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότ' ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν, καὶ οἱ μη-
25 δὲν ἐγκαλοῦντες αὐτοῖς. Καὶ τί δεῖ τοὺς ἄλλους λέγειν[99]; Ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν εἰπεῖν ἔχοντες[100] ἐξ ἀρχῆς ὅ τι ἠδικούμεθ' ὑπ' ἀλλήλων[101], ὅμως ὑπὲρ ὧν[102] τοὺς ἄλλους ἀδικουμένους ἐωρῶμεν, πολεμεῖν ᾠόμεθα δεῖν. Καίτοι πάνθ' ὅσ' ἐξημάρτηται καὶ Λακεδαιμονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσιν καὶ τοῖς ἡμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττον' ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν[103] Φίλιππος ἐν τρισὶ καὶ δέκ' οὐχ ὅλοις ἔτεσιν, οἷς ἐπιπολάζει, ἠδίκηκε τοὺς Ἕλληνας,
26 μᾶλλον δ' οὐδὲ μέρος τούτων ἐκεῖνα... Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν ὥστε μηδ' εἰ πώποτ' ᾠκήθησαν προσελθόντ'[104] εἶναι ῥᾴδιον εἰπεῖν· καὶ τὸ Φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ. Ἀλλὰ Θετταλία πῶς ἔχει; Οὐχὶ τὰς πολιτείας καὶ τὰς πόλεις αὐτῶν παρῄρηται καὶ τετραρχίας[105] κατέστησεν, ἵνα μὴ μόνον κατὰ πόλεις ἀλλὰ καὶ κατ' ἔθνη δουλεύω-
27 σιν; Αἱ δ' ἐν Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτ' ἐν νήσῳ[106] πλησίον Θηβῶν καὶ Ἀθηνῶν; Οὐ διαρρήδην εἰς[107] τὰς ἐπιστολὰς γράφει «Ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ[108] βουλομένους»; Καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς δ' ἔργοις οὐ ποιεῖ[109], ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσεν πρώην, οὔθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν

---

que nada podían". — [98] *Comparación* abreviada. — [99] "Decir de los demás". — [100] Concesivo e irreal: "aunque no habríamos podido decir nada, (si se nos hubiera preguntado)". — [101] "De en qué habíamos sido ofendidos los unos por los otros desde los orígenes". — [102] En ὧν hay atracción por τούτων ἅ, y este último es el acusativo invariable, parecido al de relación, que queda al trasladar a pasiva un verbo con dos acusativos de persona y de cosa. — [103] Atracción igual a τούτων ἅ; el acusativo es también interno frente al externo τοὺς Ἕλληνας; el genitivo es de comparación. — [104] "Cuando uno se acerca a ellas". — [105] Filipo dividió Tesalia en cuatro provincias mandadas por los correspondientes tetrarcas o gobernadores. — [106] "(Que está)". — [107] "En". — [108] Genitivo con verbos de "oír". — [109] "Y no es que escriba esto y no lo haga". — [110] "Bastan para conte-

πλεονεξίαν χωρεῖ[110] τἀνθρώπου. Καὶ ταῦθ' ὁρῶντες οἱ Ἕλληνες 28
ἅπαντες καὶ ἀκούοντες οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς
ἀλλήλους κἀγανακτοῦμεν, οὕτω δὲ[111] κακῶς διακείμεθα καὶ διο-
ρωρύγμεθα κατὰ πόλεις[112] ὥστ' ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν
οὔτε τῶν συμφερόντων οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ
συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσα-
σθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν χρό- 29
νον κερδᾶναι τοῦτον δν ἄλλος ἀπόλλυται ἕκαστος ἐγνωκώς[113], ὡς
γ' ἐμοὶ δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν Ἑλλήνων[114] σκοπῶν
οὐδὲ πράττων[115], ἐπεί, ὅτι[116] γ' ὥσπερ περίοδος ἢ καταβολὴ πυρε-
τοῦ ἢ ἄλλου τινὸς κακοῦ καὶ[117] τῷ πάνυ πόρρω δοκοῦντι[118] νῦν
ἀφεστάναι προσέρχεται[119], οὐδεὶς ἀγνοεῖ[120]. Καὶ μὴν κἀκεῖνό[121] 30
γ' ἴστε, ὅτι ὅσα μὲν ὑπὸ Λακεδαιμονίων ἢ ὑφ' ἡμῶν ἔπασχον οἱ Ἕλ-
ληνες[122], ἀλλ' οὖν ὑπὸ γνησίων γ' ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο,
καὶ τὸν αὐτὸν τρόπον[123] ἄν τις ὑπέλαβεν τοῦτο, ὥσπερ ἂν εἰ υἱὸς
ἐν οὐσίᾳ πολλῇ[124] γεγονὼς γνήσιος διφκει τι μὴ καλῶς μηδ'
ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτ' ἄξιον μέμψεως εἶναι[125] καὶ κατηγορίας,
ὡς δ' οὐ προσήκων ἢ ὡς οὐ κληρονόμος τούτων ὢν ταῦτ' ἐποίει,
οὐκ ἐνεῖναι λέγειν. Εἰ δέ γε δοῦλος ἢ ὑποβολιμαῖος τὰ μὴ προσή- 31
κοντ' ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις[126] ὅσῳ μᾶλλον δεινὸν
καὶ ὀργῆς ἄξιον πάντες ἂν ἔφησαν εἶναι. Ἀλλ' οὐχ[127] ὑπὲρ Φιλίπ-

---

ner". — [111] "Y no nos irritamos, sino que". — [112] "Tan desmoralizados estamos y tan atrincherados en nuestras ciudades". — [113] "Convencido cada uno (nominativo absoluto) de que está ganando (de κερδαίνω) el tiempo durante el cual (acusativo temporal)...". — [114] Interrogativa indirecta. — [115] "(En consecuencia)". — [116] Introduce una completiva dependiente de ἀγνοεῖ. — [117] "Incluso". — [118] "Que cree". — [119] "(El peligro)". — [120] La sintaxis es un poco enrevesada; se esperaría: "toleramos... y es porque cada cual está convencido... y por ello no se preocupa de... pero hace mal en eso, porque...". — [121] Antecedente de la oración de ὅτι. — [122] Anacoluto. — [123] Acusativo adverbial. — [124] "Rica". — [125] El infinitivo depende por el sentido, aunque no sintácticamente, de ὑπέλαβεν: "(opinando que el hijo) es... pero que no es posible decir...". — [126] "Por Heracles", en una oración a que debemos poner signos de admiración. — [127] No

που καὶ ὧν [128] ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν [129], οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος [6] οὐδὲν [123] τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ [27] βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν [130], ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν [131] πρότερον πρίασθαι.

